eul_wid: mlw-au

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Frogs

*Σχόλια εἰς Βάτραχους*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

arg ran t ΥΠΟΘΕΣΕΙΣ Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον, πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρασχεῖν.

arg ran 1 ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδοὺς, ᾗ καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄττα περὶ τῶν τραγικῶν τούτῳ διαλεχθεὶς ὁρμᾷ πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς πεζῇ τὴν κύκλῳ πορεύεται. ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομένων οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται, ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταὐτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ, διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι γε ὡς τὸν Πλούτωνα καὶ τὴν Περσέφατταν παραχθέντες ἀλεώρας τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν Ἀθηναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλα, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος, τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου καὶ τοῦ τραγῳδικοῦ θρόνου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν, ἑκάτερος αὐτοῖν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος τὸν Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται. οὐ δεδήλωται μὴν ὅπου ἐστὶν ἡ σκηνή· εὐλογώτατον δ' ἐν Θήβαις· καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα. Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλολόγως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· δεύτερος Φρύνιχος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος. ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν τὸ δέρμα καὶ τὸ σκύταλον, ἀναγαγεῖν θέλων Εὐριπίδην· λίμνην τε διέβαινεν κάτω καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

arg ran 2 (t1) ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ’ ἰδὼν ὡς Ἡρακλεῖ προσέκρουσε διὰ τὸν Κέρβερον. ὡς δ’ ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών, καὶ δὴ στεφανοῦταί γ’ Αἰσχύλος. τοῦτον δ’ ἄγει Διόνυσος εἰς φῶς, οὐχὶ μὰ Δί’ Εὐριπίδην. ⟦ ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ Διόνυσος Εὐριπίδου πόθῳ ληφθεὶς καὶ οὐχ οἷός τ’ ὢν ἄλλως θεραπεῦσαι τὸν ἔρωτα, εἰς Ἅιδου κατελθεῖν ἠβουλήθη, ὅπως ἐκεῖ τούτῳ ἐντύχῃ. [1]

arg ran 3 (t) ἐπεὶ δὲ τῆς ὁδοῦ ἄπειρος ἦν, ἔγνω δεῖν εἰς Ἡρακλέα πρόσθεν ἐλθεῖν. οὗτος γὰρ πάλαι, κελεύσαντος Εὐρυσθέως, Κερβέρου χάριν εἰς Ἅιδου κατῄει. ἐλθὼν δὲ καὶ πυθόμενος περὶ τῆς ὁδοῦ, ἤκουσε παρ’ αὐτοῦ, ὅπως ἄρα δεῖ κατελθεῖν, χαριεντισαμένου πρὸς αὐτὸν πρότερον. Διόνυσος δὲ καὶ πρὶν ἀπαντῆσαι πρὸς Ἡρακλέα, κατ’ αὐτὸν ἐσκευάσθη, λεοντῆν ἐνδεδυμένος καὶ ῥόπαλον φέρων. ὡς οὖν ἤκουσε παρ’ Ἡρακλέους περὶ τῆς ὁδοῦ, μεθ’ ἑαυτοῦ δοῦλόν τινα ἔχων Ξανθίαν, ἐχώρει πρὸς Ἅιδην, καὶ πρῶτον μὲν ἐντυγχάνει τῇ Ἀχερουσίᾳ λίμνῃ, καὶ ὁρᾷ ἐν αὐτῇ τὸν Χάροντα μετὰ σκάφους, δι’ οὗ τοὺς τεθνεῶτας εἰς Ἅιδου ἐπέρα. καὶ ὁ μὲν Ξανθίας οὐκ ἐπέβη τοῦ σκάφους, διὰ τὸ μὴ τὴν ἐν Ἀργινούσαις ναυμαχῆσαι μάχην· πεζῇ δὲ περιῄει τὴν λίμνην. Διόνυσος δὲ ἐπιβάς, καὶ τῶν ἐν αὐτῇ βατράχων ἀκούσας μέλη παρὰ τὸν πλοῦν, διαπεραιοῦται, καὶ αὖθις Ξανθίᾳ συγγίνεται, καὶ σὺν αὐτῷ πάλιν ἁψάμενος τῆς ὁδοῦ εὑρίσκει, ἃ Ἡρακλῆς αὐτῷ προειρήκει, δυσχερῆ τινα θεάματα· καὶ τοὺς μύστας παρ’ αὐτὰς τὰς πύλας τοῦ Ἅιδου χορεύοντας. εἶτα ὡς Ἡρακλῆς εἰσελθὼν, καὶ μεταξὺ πολλῶν τούτῳ συμβάντων, παραγίνεται πρὸς Πλούτωνα, καὶ ὅτου χάριν ἧκεν εἰπὼν, ἔσχεν ὑπακούοντα Πλούτωνα, οὐχ ἵν’ Εὐριπίδην ἀναγάγῃ, ἀλλ’ ἵν’ ἀγωνισαμένων Αἰσχύλου καὶ Εὐριπίδου, ὅστις τούτων ἄριστος τὰ εἰς τέχνην φανείη, τοῦτον αὐτὸς εἰληφὼς ἀνενέγκῃ πρὸς βίον. τούτου δὲ γενομένου, καὶ κρείττονος ἀναφανέντος Αἰσχύλου, Διόνυσος τοῦτον λαβὼν ἀνῆλθε. Τὸ δὲ δρᾶμα τῶν εὖ καὶ φιλοπόνως πεποιημένων. Ἐδιδάχθη δὲ ἐπὶ Καλλίου ἄρχοντος, τοῦ μετὰ Ἀντιγένη. οὕτω δὲ ἐθαυμάσθη διὰ τὴν ἐν αὐτῷ παράβασιν, καθ’ ἣν διαλλάττει τοὺς ἐντίμους τοῖς ἀτίμοις καὶ τοὺς πολίτας τοῖς φυγάσιν, ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος. ⟧ ⟦ ΣΚΟΠΟΣ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΔΡΑΜΑΤΟΣ Ὁ παρὼν ποιητὴς, ὡς ἐν τῷ δράματι τοῦ Πλούτου τῷ τότε τῶν Ἀθηνῶν ἄρχοντι ὁπωσδήποτε χαριζόμενος, τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτῆσαι τοὺς ἀγαθούς· τῶν Νεφελῶν δὲ τὸ δρᾶμα κατὰ τὸ φαινόμενον γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου καὶ μετεωρολέσχου καὶ φυσικοῦ· [Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν, κατεγέλα μεταρσιολογίας καὶ φυσικῆς, ὡς γράφει Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασι, θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντη ἀπείχετο· ὡς οὖν τὸ δρᾶμα τοῦ Πλούτου ὑπὲρ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς ξυνετάξατο, κατὰ παντὸς δὲ φιλοσόφου μεταρσιολέσχου καὶ ψευδοτύπου τὸ δρᾶμα τῶν Νεφελῶν·] οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τῶν Βατράχων κατὰ παντὸς ὑποψύχρου καὶ ὑποξύλου καὶ ἀφυοῦς καὶ ἀτεχνότατα γράφοντος, τῷ μεμηνέναι δὲ οὐ συνιέντος ἑαυτὸν ὄντα βάρβαρον, οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι, ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαι τῶν λίαν ἐπιστημόνων. [15]

arg ran 4 (t) ὡς τῷ ὑπὲρ φύσιν Ὁμήρῳ τις ἀνώνυμος ἤριζε Σάτυρος, Ἡσιόδῳ δὲ Κέρκωψ, ἢ πλέον εἰπεῖν, Εὔρυτος μὲν τοξικῇ, Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι· Σειρῆσι δὲ καὶ Μούσαις Θάμυρις ὁ μαινόμενος· ἢ ὡς ὁ Αἰγύπτιος Σῶφις καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίαις ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς δῆθεν ἀντιστράπτοντες. κατὰ τοιούτου παντὸς μὴ συνιέντος ἑαυτὸν, [ἐξομοιουμένου δὲ φιληταῖς ἀλογίστοις καθάρμασι, δίκην βατράχων βοῶσι θορυβωδέστατα,] τὸ τοιοῦτον ὁ ποιητὴς ἐξέθετο δρᾶμα. Διασκευὴ δὲ καὶ ἔκθεσις τοιάδε τοῦ δράματος· πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν. ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς ᾅδου, ὡς Εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ἐπὶ Διονυσιακοῖς τοῖς κοθόρνοις, καὶ λεοντῆν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ Ἡρακλέους, μετὰ Ξανθίου οἰκέτου, ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ

ἀλλακτὸν δημωδεστέρως καλεῖται, εἰς Θήβας ἢ Τίρυνθα, πόλιν τοῦ Ἄργους, ἀφικνεῖται πρὸς Ἡρακλέα, ὁδοὺς τὰς εἰς ᾅδου χρήζων μαθεῖν ἐξ αὐτοῦ καὶ πανδοχεῖα καὶ ἐκτροπάς, ἅτε τοῦ Ἡρακλέους εἰς ᾅδου πρὶν κατελθόντος ἐπ’ ἀναγωγῇ τοῦ Κερβέρου· εἰ καὶ δυσὶ γενεαῖς προγενέστερος ἦν Ἡρακλέους ὁ Διόνυσος. παρ’ οὗ μαθὼν ὅσων ἔχρηζεν, ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ πεφθακὼς τὴν Ἀχερουσίαν, αὐτὸς μὲν ὁ Διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ Χάρωνι, Ξανθίας δ’, ἀνθ’ ὧν τῇ περὶ Ἀργινούσας οὐκ ἐναυμάχησε ναυμαχίᾳ, τῷ Χάρωνι μὴ ἀναληφθεὶς πεζῇ τὴν λίμνην κύκλῳ περιπορεύεται· καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος τέλος; Διόνυσος ξενίζεται Περσεφόνῃ καὶ Πλούτωνι, καὶ κρίσιν ποιησάμενος ποιητῶν, Εὐριπίδου καὶ Αἰσχύλου, καὶ ἄριστον τῷ ὄντι Αἰσχύλον νομίσας, καὶ παρὰ προσδοκίαν τοῦτον λαβὼν ἀλλ’ οὐκ Εὐριπίδην, αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται.

arg ran 4 ⟧ SCHOLIA IN RANAS Ὁ Ξανθίας ἐπὶ ὄνου παράγεται καθεζόμενος, ἔχων ἐπὶ τῶν ὤμων ἀνάφορον, ὅπου ἦν τὰ στρώματα.

sch ran ante 1 (εὐθὺς ἐν τῇ εἰσβολῇ διαβάλλει τούς τε κωμῳδοὺς ὡς γελοίοις χρωμένους καὶ παρατρέποντας τοὺς θεατὰς ἀπὸ τῆς ἀκριβείας.) τῶν εἰωθότων: Ἀντὶ τοῦ τῶν ἐθίμων, ἡ μετοχὴ ἀντὶ τοῦ ὀνόματος· καὶ Ὅμηρος [Od.

sch ran 1 A, 213] τὸν δ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντὶ τοῦ πινυτός. —εἰωθότων: Τῶν συνήθων διαλέγεσθαι εἰς ἡδονὴν τοῦ θεάτρου. Θ. τῶν συνήθων. Br. θεώμενοι: Οἱ θεαταί.

sch ran 2 Θ. Br. νὴ Δί’ ὅ τι βούλει γε: Ἴδιον αὐτοῦ τὸ εἰς ταῦτα ὀλισθαίνειν· ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις [fr 307] ὁ θεράπων φησὶν ὡς διά γε τοῦτο τοὔπος, οὐ δύναμαι φέρειν σκεύη τοσαῦτα, καὶ τὸν ὦμον θλίβομαι.

sch ran 3 ἐνταῦθα δέ φησιν ὅτι οὐ δύναμαι ἀνέχεσθαι τοῦ θλίβομαι λεγομένου. πάνυ γάρ ἐστ’ ἤδη χολή: Ἀντὶ τοῦ πολύ.

sch ran 4 τὸ δὲ πολὺ, κἂν ᾖ γλυκὺ, πικρόν ἐστιν. (Ἄλλως. ὡσανεὶ ἔλεγε ναυτία, διὰ τὸ ἐπιδαψιλεύειν τὴν παιδιὰν ταύτην. συνεχῶς γὰρ εἰσῆγον τοὺς τὰ τοιοῦτα λέγοντας.) —χολή: Λύπη. D. ἀντὶ τοῦ χωρὶς τοῦ εἰπεῖν θλίβομαι.

sch ran 5 R. ἀντὶ τοῦ ἄνευ εἰπεῖν πιέζομαι. V. γέλοιον Ἀττικῶς, γελοῖον δὲ κοινόν.

sch ran 6 ἡ δὲ σημασία ἡ αὐτή. μεταβαλλόμενος: Ἀντὶ τοῦ μεταφέρων, μετατιθεὶς ἀπὸ ὤμου εἰς ὦμον.

sch ran 8 τἀνάφορον δὲ ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. —μεταθέμενος τὸ ἐπὶ ὤμου φορτίον. Θ. χεζητιᾷς: Μέλλεις ἀποπατεῖν. Vict. (μηδ’ ὅτι τοσοῦτον: Μὴ οὕτω ποιήσαιμι καίτοι ἄχθος τοσοῦτον φέρων.

sch ran 9 ) ἀποπαρδήσομαι: Εἰς τὸ αὐτὸ κατήντησεν ὡς δῆθεν ἄκων.

sch ran 10 —καθαιρήσει: Καταβιβάσει ἀπὸ τοῦ ὤμου. Θ. Vict. καθαίρω παροξυτόνως τὸ ἀποπλύνω, καθαιρῶ δὲ περισπωμένως τὸ καταβάλλω. Θ. Vict. πλήν γ’ ὅταν μέλλω ἐξεμεῖν: Οἷον, εἰ ὅλως λέγεις, τότε εἰπὲ, ὅτε μέλλω ἐξεμεῖν, ἵνα ἅπαξ ἐμέσω καὶ μὴ καὶ τότε ὅτε λέγεις.

sch ran 11 Ἄλλως. τότε, φησὶ, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας, ὅτε μέλλω ἐξεμεῖν. ῥᾷστα γὰρ ἂν ἐξεμέσαιμι, ἐὰν εἴπῃς. Φρύνιχος: Δίδυμός φησιν ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται, ὡς παρ’ ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου.

sch ran 13 ἔστι δὲ πατρὸς Εὐνομίδου. κωμῳδεῖται δὲ καὶ ὡς ξένος, καὶ ἐπὶ φαυλότητι ποιημάτων, καὶ ὡς ἀλλότρια λέγων καὶ ὡς κακόμετρα. εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. (Φρύνιχος δὲ ὁ κωμικὸς οὐδὲν τούτων ἐποίησεν ἐν τοῖς σωζομένοις αὐτοῦ· εἰκὸς δὲ ἐν τοῖς ἀπολωλόσιν εἶναι αὐτοῦ τοιοῦτόν τι.) Λύκις: Κωμῳδίας ποιητής.

sch ran 14 ὡς ψυχρὸς κωμῳδεῖται· λέγει δὲ αὐτὸν καὶ Λύκον· οὗ οὐδὲν φέρεται. (Ἄλλως. ὁ δὲ νοῦς, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν· ἵνα τὸ φέρουσι σημαίνῃ πτῶσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοτικήν. Ἄλλως.) τριχῶς λέγεται. ἢ γὰρ σκευηφοροῦσιν, ἢ σκεύη φέρουσιν, ἢ ⟦ σκευοφοροῦσιν. ἀντὶ τοῦ ⟧ σκευοφόρους ἄνδρας ποιοῦσιν. ἔστι δὲ βεβιασμένος ὁ λόγος, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι ποιοῦσι, σκευηφοροῦντας εἰσάγοντες μετὰ πολλῶν. περιλείπεται οὖν ἀκούειν ἁπλῶς ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευηφοροῦσιν, ἵνα τὸ σκευηφοροῦσι σημαίνῃ πτῶσιν δοτικήν. —καὶ αὐτὸς ὡς κακὸς ποιητὴς κωμῳδεῖται. V. σκευοφοροῦσ’: Τοῖς.

sch ran 15 E. καὶ οὗτοι οἱ τρεῖς κωμικοὶ εἰσὶ ποιηταὶ, σκευοφοροῦντας εἰσάγοντες ἐν ταῖς κωμῳδίαις καὶ αἰσχρὰ ποιοῦντας. E. τῶν πράξεων τῶν ἀπατηλῶν.

sch ran 17 Θ. εἰρωνεία. πανουργευμάτων, ἀπατηλῶν ποιημάτων. M. πλεῖν ἢ ’νιαυτῷ: Παρὰ τὸ Ὁμηρικὸν [Od.

sch ran 18 T, 360] αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. καὶ τὸ [Od. O, 357] «ἐν ὠμῷ γήραϊ θῆκε.» διὰ τὴν ἀηδίαν οὖν γηράσκω, φησίν. ἆρ’ ὁ τράχηλος ούτοσὶ: Ὁ Ξανθίας ἀχθόμενος ἐφ’ ᾧ βαστάζει φόρτῳ λέγει.

sch ran 20 ὑπὸ τοῦ φορτίου ἐρεῖ. Θ. ἀλαζονεία.

sch ran 21 R. V. ἡμετέρα ἀτιμία αὐτοῦ ἀλαζονεία καὶ ἔπαρσις. Θ. υἱὸς Σταμνίου: ⟦ Δέον εἰπεῖν υἱὸς Διὸς Σταμνίου εἶπε παρ’ ὑπόνοιαν, ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται.

sch ran 22 ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται. ⟧ (σταμνία καὶ στάμνους τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. παίζει δὲ ἅμα καὶ πρὸς τὸ σχῆμα ὅτι υἱός εἰμι σταμνίου. Ἄλλως.) ἔπαιξεν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον ὥσπερ παῖδα καὶ τρέφει. τοῦτον δ’ ὀχῶ: Ὀχεῖσθαι ποιῶ· ἐπὶ τοῦ ὄνου γὰρ ἦν καθήμενος ὁ Ξανθίας· ⟦ νοεῖται δέ τι καὶ αἰσχρόν· ἀντὶ τοῦ, ἐπιβαίνω αὐτόν.

sch ran 23 —ὀχῶ μὲν ἐνεργητικῶς τὸ ἀφροδισιάζω καὶ ὀχεύω τὸ αὐτὸ, καὶ τὸ πρᾶγμα ὀχεία. ὀχοῦμαι δὲ παθητικῶς ἤτοι ἐπιβάτης εἰμὶ καὶ ἐφ’ ἵππου κάθημαι ἢ ἑτέρου τινός. καὶ ἀπὸ τούτου ὄχημα τὸ ἅρμα. Οἱ δὲ Ἀττικοὶ τὸ ὀχεῖν ἐνεργητικὸν καὶ ἐπὶ τοῦ ὀχεῖσθαι ποιεῖν ἐκλαμβάνουσι καὶ ἐπιβάτην καθιστάναι ἕτερον, ὡς καὶ ὁ Ἀριστοφάνης ἐνταῦθα «τοῦτον δ’ ὀχῶ» ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ. Θ. ⟧ ὀχεῖ: ἀντὶ τοῦ βαστάζει.

sch ran 25 R. V. ἐπ’ ὀχήματος φέρῃ. Vict. οὐ δῆθ’ ὅ γ’ ἔχω ’γὼ καὶ φέρω: Ἐπάνω γὰρ τοῦ ὄνου καθεζόμενος ὁ οἰκέτης, ἐβάσταζε τὸ ἀνάφορον.

sch ran 28 τινὲς εἰς τὸ φέρω δύο στιγμὰς ποιοῦσιν, ἀφαιροῦντες τοῦ μὰ τὸν Δί’ οὔ τὴν μίαν στιγμήν. πιέζεται: Κατηνέχθη ὅμως καὶ αὐτὸς ἐπὶ τὸ πιέζομαι.

sch ran 32 ἐν τῷ μέρει σὺ τὸν ὄνον: Ἀντὶ τοῦ, κατά τι μέρος, (ἢ ἐν τῷ ἴσῳ μέρει) κατὰ τὴν ἀμοιβὴν βάστασον τὸν ὄνον. (τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν: Πρὸς τοὺς χρόνους, ὅτι τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους περὶ Ἀργίνουσαν ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι συμμαχούντων δούλων, προκακωθέντες ἄλλαις ναυμαχίαις, οὕστινας ἠλευθέρωσαν· πρὸς τοῦτο οὖν χαριεντιζόμενος λέγει, ὅτι εἴπερ ἐνεναυμαχήκειν, κἂν ἀφείμην ἐλεύθερος.

sch ran 33 ὥστε οἰμώζειν ἂν ἔλεγόν σοι. ἡ δὲ Ἀργίνουσα, πόλις τῆς Αἰολίδος, ἀντικρὺ δὲ Λέσβου κειμένη καὶ Μαλίας καλουμένης ἄκρας.) (κατάβα πανοῦργε: Τὸ χ, ὅτι κατάβα φησί.

sch ran 35 πρὸς τοὺς ἀξιοῦντας, ὅτι κατάβηθι λέγεται μόνως. τὸ δὲ πανοῦργε, ἡμεῖς μὲν μετριώτερον φαμὲν, Ἀττικοὶ δὲ ἐπὶ σφοδρᾶς βλασφημίας.) ὡς Κενταυρικῶς: (Πρῶτον μὲν ἕως τούτου ὑπακούων τῷ Διονύσῳ λέγει ὁ Ἡρακλῆς, ἐνήλαθ’ ὅστις· εἶτα τὴν ὄψιν καταπλαγεὶς τὸ μὲν ἀκόλουθον οὐκ ἀνεπλήρωσεν, εἰπὼν ὅστις ἐστίν, ἀλλὰ θαυμάσας ἐπηρώτησε τίς εἴη.

sch ran 38 ) ἀντὶ τοῦ ἀκόσμως καὶ ὑβριστικῶς, ὅτι καὶ οἱ Κένταυροι ὑβρισταί. καὶ τοῦτο οἶδεν Ἡρακλῆς ἐκ τῆς πρὸς αὐτοὺς μάχης. τινὲς δὲ ἀντὶ τοῦ μαλακῶς. εἰρωνεύεται γὰρ ὁ Ἡρακλῆς. ὁ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διόνυσος μαλακὸς καὶ τρυφηλός. —Κενταυρικῶς: Λίαν ἀγρίως, δίκην Κενταύρων. Θ. ἀτάκτως. Vict. ὅστις: Ἦν.

sch ran 39 Vict. πρός τινα τῶν ἑαυτοῦ παίδων τοῦτό φησιν, οὔπω τῆς θύρας ἀνοιγείσης. Vict. ὁ παῖς: Ὁ Διόνυσος νεύει πρὸς τὸν Ξανθίαν, καὶ λέγει μειρακευόμενος, ὡς δείσαντος αὐτὸν τοῦ Ἡρακλέους.

sch ran 40 καθόλου γὰρ τοιοῦτον εἰσάγουσι τὸν Διόνυσον, ὡς ὄντα δειλὸν, (μόνον δὲ καυχηματίαν). —ὁ παῖς: Ὦ παῖ. Ε. μὴ μαίνοιό γε: Δίδυμος ἀντὶ τοῦ, μὴ μανείης.

sch ran 41 πιθανώτερον δὲ ἀντὶ τοῦ, ὑπέλαβέ σε μαίνεσθαι ὁ Ἡρακλῆς. Ἄλλως. μὴ οὕτω μανείης, ὡς ὑπολαβεῖν σε τὸν Ἡρακλέα φοβηθῆναι. ἐπὶ κροκωτῷ: Διονυσιακὸν φόρεμα ὁ κροκωτός.

sch ran 46 ἐφόρει δὲ λεοντῆν, ἵνα ᾖ φοβερὸς ὡς Ἡρακλῆς. Ἡρακλέους γὰρ φόρεμα ἡ λεοντῆ. ⟦ κροκωτῷ, γυναικείῳ ἐκ πήνης ἐνδύματι. ⟧ —γυναικείῳ ἐνδύματι ἐκ μετάξης. Θ. Ε. τίς ὁ νοῦς ἀντὶ τοῦ τί ὁ νοῦς θέλει εἶναι.

sch ran 47 V. ποία διάνοια. G. κόθορνος: Τινὲς ὅτι ὁ κόθορνος εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει, οἱ δὲ ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. (ἔνθεν καὶ Θηραμένης κόθορνος ἐλέγετο. ὅτι τοῖς καιροῖς καθομιλεῖν δύναται. ὁ δὲ Ξενοφῶν ἐν Ἑλληνικοῖς [2, 3, 31] ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν. ἐκπλήττεται δὲ ὁ Ἡρακλῆς ὁρῶν τὴν ἄτοπον ταύτην σκευὴν, καὶ ὅτι τὰ ἄμικτα ἔμιξεν. ὁ μὲν γὰρ κροκωτὸς καὶ ὁ κόθορνος γυναικεῖά ἐστιν, ἡ δὲ λεοντῆ καὶ τὸ ῥόπαλον ἀνδρῷα.) ἐπεβάτευον Κλεισθένει: Παίζει.

sch ran 48 λέγεται γὰρ καὶ ἐπὶ νεὼς τὸ ἐπιβατεύειν καὶ ἐπὶ συνουσίας κατὰ μεταφορὰν τῶν ἀλόγων ζῴων, ἃ ἐπιβαίνοντα συνουσιάζει. Ἄλλως. Κλεισθένης ὁ Σιβυρτίου ἐπ' αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον· διὸ καὶ εὐνούχῳ εἰκάζει αὐτόν. (Ἄλλως. τὸν Κλεισθένην καὶ ἐπὶ τοῦ πασχητιᾶν κωμῳδοῦσιν. ἐμφαίνει οὖν ὅτι εἰ κατὰ στρατείαν ἀπεδήμουν, μετὰ Κλεισθένους ἂν ἐστρατευσάμην. καὶ τὸ ἐπεβάτευον ἐκείνῳ, κακεμφάτως. ἐστρατήγησε δὲ νεωστὶ καὶ ἐνίκησεν οὗτος.) κατεδύσαμεν: Ἐβυθίσαμεν εἰς τὴν θάλασσαν.

sch ran 49 Victor. σφὼ νὴ τὸν Ἀπόλλω: Θαυμάζων (καὶ ἀπιστῶν) λέγει ὁ Ἡρακλῆς τὸ σφώ.

sch ran 51 τινὲς δὲ εἰς τὸν Ἀπόλλω δύο στίζουσι καὶ εἰς τὸ ἐξηγρόμην. κᾆτ' ἔγωγ' ἐξηγρόμην: Σκώπτει τὸν Διόνυσον. καὶ ἐγὼ, φησὶν, ἀνέστην ἐξ ὀνείρου· δηλῶν ὅτι ὄναρ ταῦτα ἔπραξεν. οἱ δέ φασιν ὡς ὁ Διόνυσος ταῦτα λέγει, κᾆτ' ἔγωγ' ἐξηγρόμην, ὡς τῶν ἐπίτηδες ψευδομένων ἐπιλεγόντων τοῦτο, καθ' ὃ δηλοῦται ὅτι ἐνυπνίῳ ἔοικε τὸ λεγόμενον. οἱ δὲ τῷ Ἡρακλεῖ προσνέμουσι τοῦτο, οἱ δὲ τῷ Ξανθίᾳ. καὶ τὸ, νὴ τὸν Ἀπόλλω, τῷ Διονύσῳ. μόνον γὰρ τὸ σφώ λέγειν τὸν Ἡρακλῆν. ⟧ —σφώ: Ὑμεῖς οἱ θηλυμανεῖς. ἐξηγρόμην: Ἐξηγειρόμην ἐξ ὕπνου. Θ. Br., Vict. ἐξ ὕπνου. Ε. τὸ ἐξηγρόμην λέγει δεικνὺς αὐτὸν, ὅτι ὀνείρατα φθέγγεται. Ε. τὴν Ἀνδρομέδαν: (Τῶν καλλίστων Εὐριπίδου δρᾶμα ἡ Ἀνδρομέδα.

sch ran 53 ) διὰ τί δὲ μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης, Φοινισσῶν, Ἀντιόπης; ἡ δὲ Ἀνδρομέδα ὀγδόῳ ἔτει προεισῆλθεν. ἀλλ' οὐ συκοφαντητὰ ἦν τὰ τοιαῦτα. ἐπάταξε: Ἔπληξε.

sch ran 54 Vict. μικρὸς ἡλίκος Μόλων: (Παίζει.

sch ran 55 ἔστι γὰρ μεγαλόσωμος ὁ Μόλων. Ἄλλως.) Δίδυμός φησιν ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς καὶ ὁ λωποδύτης· καὶ μᾶλλον τὸν λωποδύτην λέγει, ὅς ἐστι μικρὸς τὸ σῶμα. Τιμαχίδας δὲ τὸν ὑποκριτὴν λέγεσθαι νυνὶ Μόλωνα. γυναικὸς οὐ δῆτα: Τινὲς ἀπὸ τοῦ γυναικὸς ἀμοιβαῖα ποιοῦσι, τινὲς δὲ ὅλον φασὶ τὸν Ἡρακλέα λέγειν, λογιζόμενον τίνος ἠράσθη Διόνυσος.

sch ran 56 τοῦ δὲ Διονύσου εἰπόντος τὸ ἀτταταῖ, ὁ Ἡρακλῆς ὑποπτεύει ἀνδρὸς ἐρασθῆναι Κλεισθένους τὸν Διόνυσον. (ἀτταταί: Γράφεται ἀππαπαί.

sch ran 57 διὰ τούτου συγκαταθεμένου τοῦ Διονύσου καὶ ὁ Ἡρακλῆς ἐπήνεγκε, μὴ τοῦ Κλεισθένους, διὰ τὸ, ἐπεβάτευον Κλεισθένει.) —ξυνεγένου: Αἰσχρῶς ἡνώθης. Vict. (οὐ γὰρ ἀλλ’ ἔχω κακῶς: Ἀντὶ τοῦ καὶ γὰρ ἀλλά.

sch ran 58 τὸ ἀλλὰ παρέλκει Ἀττικῶς. ἀντὶ τοῦ, ἔχω γὰρ κακῶς.) —Ἄλλως. οὐ γὰρ ἀλλά ἀντὶ τοῦ καὶ γὰρ ἀλλά. Καλλίμαχος «οὐ γὰρ ἀλλ’ ἥκω.» V. οὐ γὰρ τοῦτό ἐστι. C. οὐ γὰρ τούτου ἐπιθυμῶ, ὃ λέγεις· ἀλλὰ κακῶς ἔχω. D. ἐπιθυμία ἢ ἀγάπη.

sch ran 59 V. δι’ αἰνιγμῶν: Ἀντὶ τοῦ δι’ ἀσαφείας.

sch ran 61 R. V. αἰνιγμάτων. Θ. ἔτνους: Ὀσπρίου πισίνου.

sch ran 63 ὡς ἀδηφάγον δὲ τὸν Ἡρακλέα κωμῳδοῦσι. (τὸ δὲ ἔτνος εἶδος ἀθάρας.) ⟦ οἱ δὲ ἀνδρεῖοι καὶ πρὸς τὰς μάχας θαυμαστοὶ ἔτνος ἐσθίουσιν ὡς συντελοῦν αὐτοῖς πλεῖστα, ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν. ⟧ ἑτέρᾳ φράσω: Διδάσκω οἵως ἐρῶ, ὑποβαλών σοι τὸν ἔρωτα τοῦ ἔτνους.

sch ran 64 ἀντὶ τοῦ ἄλλῳ τινὶ ὑποδείγματι, οἷον ἄλλῳ τρόπῳ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐξ Ὑψιπύλης Εὐριπίδου. (καὶ ταῦτα τοῦ τεθνηκότος: Τινὲς βούλονται ἓν πρόσωπον λέγειν ὅλον.

sch ran 67 τινὲς δὲ διορίζουσι τὸ τοῦ τεθνηκότος· ὡς τοῦ Ἡρακλέους λέγοντος αὐτό. οὕτω γὰρ καὶ αἱ διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.) αὐτοῦ γὰρ τοῦ Διονύσου ἐστὶν ὁ ἀγών.

sch ran 72 (οἱ μὲν γὰρ οὐκ ἔτ’ εἰσὶν: Εὐριπίδου ἐξ Οἰνέως σὺ δ’ ὧδ’ ἔρημος ξυμμάχων ἀπόλλυσαι· οἱ μὲν γὰρ οὐκ ἔτ’ εἰσὶν, οἱ δ’ ὄντες κακοὶ.) (τί δ’ οὐκ Ἰοφῶν: Υἱὸς Σοφοκλέους ὁ Ἰοφῶν.

sch ran 73 ἠγωνίσατο δὲ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ἀμφιβάλλει μήποτε τοῦ Σοφοκλέους εἴη εἰρηκὼς τραγῳδίαν.) ἐπαινέσας αὐτὸν ὁ Ἀριστοφάνης ὅτι τοῦτο καὶ μόνον ἐστὶ λοιπὸν ἀγαθὸν, προελθὼν ἔψεξεν αὐτόν.

sch ran 75 V. ⟦ ὅπως ἔχει: Εἴτε αὐτοῦ δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺς πολλοὺς δόξα κατεῖχε. ⟧ (πρότερον δὲ, τῇ ἡλικίᾳ, ἢ τιμιώτερον.) οὔ, πρίν γ’ ἂν Ἰοφῶντα: Κωμῳδεῖται γὰρ ὁ Ἰοφῶν ὁ υἱὸς Σοφοκλέους ὡς τὰ τοῦ πατρὸς λέγων ποιήματα.

sch ran 78 (Ἄλλως. οὐ μόνον ἐπὶ τῷ ταῖς τοῦ πατρὸς τραγῳδίαις ἐπιγράφεσθαι κωμῳδεῖται, ἀλλ’ ἐπὶ τῷ καὶ ψυχρὸς καὶ μαλακὸς εἶναι.) —Νικοστράτης δὲ υἱὸς ἦν. φασὶ δὲ ὅτι καὶ Ἀρίστων τοῦ Σοφοκλέους νόθος υἱὸς ἐγεγόνει ἔκ τινος Θεωρίδος Σικυωνίας. V. τὸ δὲ κωδωνίσω ἀντὶ τοῦ δοκιμάσω, ὅτι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. (καὶ τοὺς ἵππους οὕτως ἐδοκίμαζον κώδωσιν εἰ ψοφοδεεῖς εἶεν, καὶ τοὺς ὄρτυγας. οἱ γὰρ ὑπομένοντες τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχουσι πρὸς μάχην. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν, ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἀπὸ τῶν φυλακῶν. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων· τὰ δὲ ἄλλα ἐσχεδίασται. Ἄλλως. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν κώδωνι δοκιμαζομένων εἰ θόρυβον ὑπομένειν δύνανται. Δημήτριος δὲ προσλαμβάνει καὶ ὅτι κατὰ τὰς φυλακὰς εἰ ἐγρηγόρασι κώδωσι διεσήμαινον, ὅπως ἂν φθέγγωνται.) κωδωνίσω: Δοκιμάσω, ἐκ μεταφορᾶς τῶν νομισμάτων.

sch ran 79 C. διακηρύξω. D. δοκιμάσω, ἐξετάσω. Vict. εὔκολος: Ἁπλοϊκὸς καὶ ἐλευθέριος.

sch ran 82 τοιοῦτος δὲ ὁ Σοφοκλῆς. —μαλακογνώμων. Θ. Vict. Ἀγάθων δὲ: Οὗτος τραγῳδίας ποιητὴς (Ἀθηναῖος, υἱὸς Τισαμενοῦ).

sch ran 83 κωμῳδεῖται δὲ εἰς θηλύτητα. (ἦν δὲ καὶ κωμῳδοποιὸς τοῦ Σωκρατικοῦ διδασκαλείου.) ποθεινὸς τοῖς φίλοις: Γράφεται δεξιός.

sch ran 84

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλοις δὲ ἀντὶ τοῦ τοῖς σοφοῖς. οὗτος δὲ ἀγαθὸς ἦν τὸν τρόπον καὶ τὴν τράπεζαν λαμπρός. (καὶ φασὶν ὅτι τὸ Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παρ' αὐτῷ καταχθέντων.) ἐς μακάρων εὐωχίαν: Ἢ ὡς περὶ τετελευτηκότος λέγει, ὡσανεὶ εἶπε τὰς μακάρων νήσους· ἢ ὅτι Ἀρχελάῳ τῷ βασιλεῖ μέχρι τῆς τελευτῆς μετὰ ἄλλων πολλῶν συνῆν ἐν Μακεδονίᾳ, καὶ μακάρων εὐωχίαν ἔφη τὴν ἐν τοῖς βασιλείοις διατριβήν. [5]

sch ran 85 ⟦ τοῦτο δὲ παρ' ὑπόνοιαν. ⟧ Ξενοκλῆς: Υἱὸς Καρκίνου, ὃς κωμῳδεῖται ὡς ἄξεστος ἐν τῇ ποιήσει (καὶ ἀλληγορικός).

sch ran 86 ἀδελφοὶ δὲ αὐτοῦ Ξενόκλειτος, Ξενότιμος, Δᾶτις. (εἰσὶ δὲ, ὥς φασι, δύο Ξενοκλεῖς τραγῳδοὶ γεγονότες. τρίτος δέ ἐστι τούτοις ὁμώνυμος, πολιτικὸς, φαύλου μὲν πατρὸς, τῶν δὲ δήμων Χολαργεύς.) Πυθάγγελος δέ: Τραγῳδίας ποιητὴς μοχθηρὸς καὶ ἄσημος. [5]

sch ran 87 ὁ Ξανθίας δὲ ὑπομνησθεὶς τῆς Πυθαγγέλου φωνῆς φησὶν ὅτι οὐ φροντίζετέ μου Πυθαγγέλου καὶ ταῦτα (φροντίζοντες καὶ) μνημονεύοντες. (καλῶς δὲ καὶ πικρῶς ἔδειξεν ὡς δοῦλος τὸ προκείμενον.) (λαλίστερα: Πολυλογώτερα. [5]

sch ran 91 εἰς τοῦτο γὰρ Εὐριπίδης ἐκακίζετο.) πλεῖν ἢ σταδίῳ: πλέον ἢ σταδίῳ Εὐριπίδου φλυαρότερα. R. V. τοῦτο δὲ ὡς ἐπὶ δρόμου, καθὼς καὶ ἐν τῇ συνηθείᾳ λέγομεν. V. ἀντὶ τοῦ λάλοι καὶ πιθανολόγοι. R.V. ἐπιφυλλίδες: Κυρίως δὲ ἐπιφυλλίδες· οὕτω λέγεται τὰ βοτρύδια τὰ μετὰ τὸ πατεῖσθαι τῶν στεμφύλων ἐξερχόμενα. [5]

sch ran 92 ταῦτα δὲ οὐ χρήσιμα. Ἄλλως. V. τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. (Καλλίστρατος δὲ, τὰ αὐτὰ καθ' ἑαυτὰ μικρά.) κέκληται δὲ οὕτως, διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. (ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις). Ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φασι τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐχ ὑποκάτω τῶν φύλλων, ὡς οἱ βότρυες, ἀλλ' ἐπάνω φύονται. δείκνυσι δὲ ἐντεῦθεν ὡς οὐδὲν περὶ λόγους εἰσί. χελιδόνων μουσεῖα: Παρὰ τὰ ἐν Ἀλκμήνῃ Εὐριπίδου πολὺς δ' ἀνεῖρπε κισσὸς, εὐφυὴς κλάδος, χελιδόνων μουσεῖον. [10]

sch ran 93 ἀντὶ τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ ἡ χελιδὼν ἐπὶ τῶν βαρβάρων καὶ ἐν τοῖς ἑξῆς [680] «οὗ περιβρέμεται Θρῃκία χελιδών. —» τὸ χελιδόνων μουσεῖα παροιμία ἐπὶ τῶν πολυλόγων καὶ ἐπαχθῶν ταττομένη. τοιοῦτον γὰρ τὸ τῶν χελιδόνων γένος, πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον. καὶ ἐν τοῖς ἑξῆς «οὗ περιβρέμεται Θρῃκία χελιδών.» Θ. a m. rec. ⟦ ἃ φροῦδα: Ἀφανῆ ὑπὸ τῆς χαρᾶς. [10]

sch ran 94 ἢν μόνον: Ἤγουν, εἴπερ ἅπαξ τοὺς περιεστῶτας ἐπαινέτας σχοῖεν τῶν δραμάτων. ⟧ ⟦ προσουρήσαντα: Εὐθυδρομήσαντα, εὐδοκιμήσαντα ἐν τραγῳδίας δράματι ἐπαινεθέντα.

sch ran 95 —οὐρίζω, τὸ ἀπὸ τοῦ οὔρου ἀνέμου. οὐρῶ, τὸ ἀπὸ τοῦ οὔρου, τοῦ ἐκκρινομένου ὑγροῦ. προσουρήσαντα οὖν, τὸ βραχύν τινα χρόνον διατρίψαντα, καὶ τῶν αὐτῶν λήρων ἐκχέαντα τῇ τραγῳδίᾳ. C. ⟧ γόνιμον δὲ ποιητὴν: Ἀντὶ τοῦ φυσικόν τινα καὶ μὴ βεβιασμένον. [5]

sch ran 96 ἢ γεννητικόν. παρακεκινδυνευμένον: Ἀντὶ τοῦ ὑψηλὸν, βλάσφημον, (καὶ ὀγκῶδες.

sch ran 99 ) ⟦ παράδοξον, ἀσύνηθες. ⟧ αἰθέρα Διὸς: Εὐριπίδου ἐκ Μελανίππης ὄμνυμι δ' ἱρὸν αἰθέρ', οἴκησιν Διός.

sch ran 100 τὸ δὲ χρόνου πόδα ἐστὶν ἐξ Ἀλεξάνδρας «καὶ χρόνου «προὔβαινε πούς.» γλῶτταν δ' ἐπιορκήσασαν: Παρὰ τὰ ἐξ Ἱππολύτου Εὐριπίδου [612] ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

sch ran 103 σὲ δὲ ταῦτ' ἀρέσκει: Ἀντὶ τοῦ σοί Ἀττικῶς. (σημειωτέον δὲ ὅτι οἱ Ἀττικοὶ κέχρηνται τῷ τοιούτῳ σχηματισμῷ. ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις [503] «καταφρονεῖ με καὶ Θήβας ὅδε.») μάλα πλεῖν ἢ μαίνομαι: Οἱ μὲν βραχύνουσιν, ἵνα τοῦ η ἔκθλιψις εἶναι δοκῇ, οἱ δὲ ἐκτείνουσι τὸ α, κρᾶσιν πιστεύοντες εἶναι τοῦ η καὶ τοῦ α βραχέος εἰς τὸ α μακρόν. V. ⟦ μᾶλλον ἢ μαίνομαι. οἱ μὲν, φασὶν, ἐκτείνουσιν· οἱ δὲ συστέλλουσι. ⟧ (μεταλαμβάνεται δὲ εἰς τὸ μὲν οὖν, ἢ οὔκ· ἀλλὰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον. ἡ γὰρ μή ἀπαγόρευσις παρὰ τοῖς παλαιοῖς ἀντὶ τῆς οὐ ἀρνήσεως παραλαμβάνεται. Ἄλλως. ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτῷ· τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει.) κόβαλα: Ἀντὶ τοῦ κακοῦργα καὶ ἀνελεύθερα.

sch ran 104 (Δίδυμος, κατεστωμυλμένα, ἀπατητικά. καὶ κακοβούλους, κοβάλους.) (μὴ τὸν ἐμὸν οἴκει: Καὶ τοῦτο παρὰ τὸ ἐν Ἀνδρομάχῃ μὴ τὸν ἐμὸν οἴκει νοῦν, ἐγὼ γὰρ ἀρκέσω.

sch ran 105 ) καὶ μὴν ἀτεχνῶς γε: Ἀντὶ τοῦ ἀληθῶς ἢ ὅλως καὶ συνόλως, καὶ ἔστιν οἷον ἀδόλως.

sch ran 106 τέχνας γὰρ ἔλεγον οἱονεὶ τοὺς δόλους. [Hom. Od. Θ, 296:] «ἀμφὶ δὲ δε«σμοὶ τεχνήεντες ἔχυντο.» δειπνεῖν με δίδασκε: ⟦ Τοῦτο γὰρ ἐπίστασαι, ἐκεῖνο δ' οὔ.

sch ran 107 ⟧ ταῦτά με, φησὶ, δίδασκε, καὶ μὴ κρῖνε τραγῳδίας. ὅτι ἀδηφάγος ὁ Ἡρακλῆς. κρήνας: ⟦ Γράφεται κρημνούς.

sch ran 113 ἐκτροπαὶ δὲ, ἐκνεύσεις τῶν ὁδῶν, ⟧ ὅπου τις ἐκτραπῆναι δύναται. (διὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ καὶ κρύπτεσθαι, ὅταν ταραχή τις γένηται τῶν νεκρῶν.) ⟦ ὅσα δὲ οἱ ὁδοιποροῦντες ἐπάνω τῆς γῆς εὑρίσκουσι καθ' ὁδὸν, ταῦτα καὶ αὐτὸς οἰόμενος καὶ ὑπὸ γῆν εἶναι, ἐρωτᾷ περὶ τούτων. ⟧ ἐπειδὴ ῥυπαρὸς οὗτος ὁ τόπος· ὅπου δὲ ῥυπαρία, κόρεις εἰσίν.

sch ran 115 V. ὁ Ἡρακλῆς πρὸς τὸν Ξανθίαν τὸ ὦ σχέτλιε.

sch ran 116 R. ὁ Ἡρακλῆς ἀκούσας τοῦ Ξανθίου λέγοντος ὅτι περὶ ἐμοῦ οὐδεὶς λόγος, πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὅτι καὶ σὺ τολμήσεις καταβῆναι. V. ἀντὶ τοῦ διὰ ποίας ὁδοῦ.

sch ran 118 V. μήτε θερμὴν: Μήτε ὅπου ἐστὶ καῦμα μήτε δυσχείμερον ὁδὸν εἴπῃς.

sch ran 121 θρανίου: Θράνους καὶ θρανάτια ταπεινά τινα διφρίδια καὶ ὑποπόδια λέγονται· καὶ ἡ παρὰ τῷ ποιητῇ θρῆνυς· ἐφ' ὧν ἱστάμενοι οἱ ἀπαγχόμενοι ἀρτῶσιν ἑαυτοὺς, ἀπολακτίζοντες αὐτά. τοῦ δὲ κάλω ἡ εὐθεῖα ὁ κάλως. πνιγηρὰν λέγεις: Πρὸς τὸν πνιγμὸν τῆς ἀγχόνης καὶ ὥσπερ ὁδοῦ καυματώδους.

sch ran 122 Ἄλλως. V. καυματώδη· ἅμα μὲν ἀντὶ τοῦ θερμήν· πνιγεὺς γὰρ ἡ κάμινος· ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον καὶ τὸ θρανίον. σύντομος: Ὅτι οὐ μόνον ἐπίτομον λέγουσιν, ἀλλὰ καὶ σύντομον.

sch ran 123 τετριμμένην δὲ, ἅμα μὲν ὡς ἐπὶ ὁδοῦ ⟦ κατημαξευμένησ ⟧ , ἅμα δὲ καὶ πρὸς τὸ κώνειον διὰ θυείας τρίβεσθαι. ψυχράν γε καὶ δυσχείμερον: (Καὶ ὡς ἐπὶ ὁδοῦ ψυχρᾶς, καὶ ὅτι κατὰ ψύξιν φονεύει τὸ κώνειον.

sch ran 125 ) ⟦ πήγνυσι δὲ, εἶπε, τἀντικνήμια. ⟧ ἀπὸ τῶν ποδῶν γὰρ οὗτος ὁ θάνατος ἄρχεται, πρώτους αὐτοὺς καταψύχων. ⟦ ὡς τοῦ ζωτικοῦ αἵματος περὶ τὴν καρδίαν συστελλομένου. ⟧ κατάντη: Οὕτως Ἀττικοὶ ἀντὶ τοῦ κατωφερῆ.

sch ran 127 εὐκολώτεραι γὰρ καὶ ταχύτεραι αἱ τοιαῦται ὁδοί. ὡς ὄντος γε μὴ βαδιστικοῦ, ἐμοῦ δηλονότι ταχέως βαδίζειν μὴ δυναμένου.

sch ran 128 V. ὀξύποδος ἐμοῦ. R. ἀφιεμένην τὴν λαμπάδα: Τοὺς λαμπαδιστὰς ἀγῶνας.

sch ran 131 λαμπαδηδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ Κεραμεικῷ, Ἀθηνᾶς, Ἡφαίστου, Προμηθέως. Κεραμεικὸς τόπος Ἀθήνησιν ὅπου συνετέλουν οἱ Ἀθηναῖοι κατὰ ἐνιαυτὸν λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ πύργον τινὰ ὑπάρχειν φασίν. ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα, καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω. εἶναι, τόθ' εἶναι: (Ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς.

sch ran 133 τινὲς δὲ γράφουσιν εἵητε, ἀντὶ τοῦ ἀφείητε, οἱ δρομεῖς δηλονότι.) τοῦτο δὲ γνωριμώτερον ἔχει τὸν νοῦν, ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφείητε, δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτόν. (γράφεται δὲ ἐν πολλοῖς εἶναι, ἀντὶ τοῦ εἵητε. μήποτε τὸ δεύτερον εἶναι, τὸ ἓς καὶ σὺ σαυτὸν,

ἁμαρτανομένου τοῦ προτέρου. λέγοι δ’ ἂν τις καὶ τοῦτο λόγον ἔχειν· ὡς τῶν θεωμένων ἐπικελευόντων τῷ τὸ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα, οὕτως εἶναι). ⟦ Ἄλλως. ὅτι ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν, ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι. ἦν δὲ τοῦτο πρὸ τοῦ εὑρεθῆναι παρὰ Τυρσηνοῖς τὴν σάλπιγγα. —εἶναι, τόθ’ εἶναι: Τὸ εἶναι σημαίνει καὶ τὸ κορευσθῆναι, ὡς ἐν τῷ «ἐξ ἔρον ἕντο,» καὶ ἔστι δασυνόμενον ὡς ἀπὸ τοῦ ἴω καὶ ἕημι τὸ πληρῶ. σημαίνει δὲ καὶ τὸ ἀφεῖναι καὶ πέμψαι, καὶ τοῦτο δασυνόμενον ὁμοῖον ὡς ἐνταῦθα. κανονίζεται δὲ οὕτως· ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ β′ ἀόριστος ἧν, ἡ μετοχὴ εἷς, ἕντος, καὶ τὸ ἀπαρέμφατον εἶναι. Vict. ἀλλ’ ἀπολέσαιμ’ ἂν ἐγκεφάλου: (Καὶ γὰρ ὁ ἐγκέφαλος τῶν ἀνθρώπων ἔχει ὑφ’ ἑαυτὸν ὑμένας ἐοικότας τοῖς τῆς συκῆς φύλλοις.

sch ran 134 Ἄλλως.) Ἀρίσταρχος, πρὸς τὸ σχῆμα, φησὶ, τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ δύο θρῖα συγκείμενα. θρῖα δὲ, τὰ τῆς συκῆς φύλλα, καὶ τὰ θρῖα δὲ οὕτως σκευάζεται. λέγεται δὲ ἀπὸ τοῦ κατειλεῖσθαι τοῖς τῆς συκῆς φύλλοις. ἡ δὲ σκευασία ἐστὶ, στέαρ, μέλι, ᾠὰ, σεμίδαλις. εἰώθασι δὲ καὶ τὸν ἐγκέφαλον ὀπτᾶν κατειλήσαντες τοῖς τῆς συκῆς φύλλοις, ἢ μετὰ τῆς ἄλλης τοῦ θρίου κατασκευῆς. ἢ καὶ μόνον, πρὸς ὃ καὶ παρέθηκε τὸ θρῖον. ἄβυσσος: Ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται.

sch ran 138 Ἴωνες δὲ τὸν βυθὸν βυσσόν φασι. τυννουτῳί σε: Συνάγων τοὺς δακτύλους φησίν· ἀντὶ τοῦ μικρῷ.

sch ran 139 ὁμοίως δὲ καὶ τυτθὸν, τὸ νήπιον, ἀντὶ τοῦ τιτθόν· τὸ ἔτι παρὰ τοῖς τιτθίοις καθεστηκός. φοβεῖ δὲ αὐτὸν, ἐπίτηδες σμικρύνων τὸ πλοῖον. —τύννος τὸ μικρὸν, ὁμοίως καὶ τυτθόν. R. δύ’ ὀβολὼ μισθὸν λαβών: Οὐχ ὡς τοῦτο λαμβάνοντος, ἀλλὰ πρὸς τὸν δικαστικὸν μισθὸν, ὅτι δύο ὀβολῶν ἦν.

sch ran 140 ἅμα δὲ διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολοὺς, καὶ ὅτι τὸ δικαστικὸν μισθάριον δύο ὀβολοὶ ἦσαν. ἐπιφέρει γοῦν ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ’ ὀβολώ. ἦν δὲ καὶ τριώβολον, τοῦτο τῶν στρατηγῶν κολακείας χάριν προστιθέντων. ἐπὶ δὲ Ἀριστοφάνους καὶ δραχμὴν ἦν λαβεῖν. ἀντὶ τοῦ μεγάλην δύναμιν ἔχουσιν.

sch ran 141 R. Θησεὺς ἤγαγε: Ὅτε κατῆλθε μετὰ Πειρίθου ⟦ εἰς Ἀϊδωνέα, ἁρπάσαι βουλομένου τὴν κόρην τῆς Δήμητρος Περσεφόνην.

sch ran 142 ἢ διὰ τὸ θητεύειν τὸν Χάρωνα διαπορθμεύοντα. ⟧ μή μ’ ἔκπληττε: Μή μ’ εἰς ἔκπληξιν καὶ φόβον ἔμβαλε· οὐ γάρ μ’ ἀποστήσεις τῆς ὁρμῆς.

sch ran 144 C. δειμάτου: Ἐκφόβει. Vict. καὶ σκὼρ ἀεὶ νῶν: Ὅτι τινές φασι τῷ σκώρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ δράματι· ψεῦδος δὲ, πολλῷ γὰρ ὕστερον τῶν Βατράχων δεδίδακται ἡ Ἀταλάντη Στράττιδος.

sch ran 146 —νῶν δὲ ἀντὶ τοῦ ῥέον, νᾶον νῶν. σκὼρ δὲ ἀποπάτημα, χέσμα. κειμένους δὲ ἀντὶ τοῦ κολαζομένους. R. V. νῶν: Ῥέον. C. νάον D. σκὼρ: Κόπρον. Vict. ἠλοίησεν: Ἔτυψεν.

sch ran 149 R. Br., Vict. ἐφαρύτωσεν. ἢ γεραιὰν γνάθον ἔκρουσε. V. ἢ Μορσίμου: Τραγῳδίας ποιητὴς ὑπόψυχρος.

sch ran 151 (ἔστι δὲ Φιλοκλέους υἱός. ἦν δὲ ὀφθαλμῶν ἰατρὸς ἀγαθός. ἦν δὲ καὶ σμικρός. υἱὸν δὲ ἔσχεν Ἀστυδάμαντα.) —ἀντὶ τοῦ θανάσιμόν τινα λόγον ἔγραψεν, οἷα νῦν πολλὰ γίνονται τοῖς φαρμακοῖς. V. τὴν Κινησίου: Κινησίας διθυραμβοποιός· ὃς ἐποίησε πυρρίχην.

sch ran 153 ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρῆτο. (τινὲς δὲ οὐ γράφουσι τὸν, νὴ τοὺς θεοὺς, στίχον, ἀλλ’ ἀφαιροῦσιν αὐτὸν καὶ τὸν ἑξῆς οὕτω γράφουσιν ἢ πυρρίχην τις ἔμαθε τὴν Κινησίου. διὸ καὶ Ἀριστοφάνης παρατίθησι τὸ ἀντίσιγμα καὶ τὸ σίγμα. Ἄλλως. ὁ Κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, [ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ τὸ σῶμα ὀκνηρὸς καὶ κατεσκελετευκώς.

δοκεῖ δὲ καὶ] κατησχημονηκέναι τοῦ τῆς Ἑκάτης ἀγάλματος. διὸ καὶ ἐν τοῖς ἑξῆς [366] φησιν ἢ κατατιλᾷ τῶν ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων. ἦν δὲ Θηβαῖος, μελοποιὸς κάκιστος, ὃς ἐν τοῖς χοροῖς ἐχρῆτο πολλῇ κινήσει.) τοὺς τόπους τῶν μυρρίνων.

sch ran 156 R. μυρρινὼν ὁ τόπος τῶν μυρρίνων. V. τόπους μεστοὺς μυρινῶν. Θ. οἱ μεμυημένοι: ⟦ Λόγος γὰρ ἐκράτει παρ’ Ἀθηναίοις ὡς ὁ τὰ μυστήρια διδαχθεὶς μετὰ τὴν ἐνθένδε τελευτὴν θείας ἠξιοῦτο τιμῆς.

sch ran 158 διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον. ⟧ —οἱ εἰδότες τὰ μυστήρια. R. οἱ τὰ μυστήρια διδαχθέντες. Θ. ὄνος ἄγων μυστήρια: Τοῖς μυστηρίοις ἐξ ἄστεως εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν· ὅθεν ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας.

sch ran 159 ὡς ἂν οὖν ὅμοιόν τι πάσχων διὰ τὸ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν. (ἀτὰρ οὐ καθέξω: Ἅμα τῷ λόγῳ ῥίπτει τὰ σκεύη, ἵνα ὕστερον φαίνηται γελοιότερος, κελευόμενος ἆραι τὰ σκεύη.

sch ran 160 λέγει γοῦν, πρὶν καὶ καταθέσθαι, εἰπόντος, σὺ δὲ τὰ στρώματα αὖθις λάμβανε.) τῷ Ξανθίᾳ φησὶν ὁ Διόνυσος.

sch ran 165 V. τῶν νεκρῶν δηλονότι τῶν ἐπὶ τὸ ἀπελθεῖν μελλόντων εἰς τὸν Ἅιδην.

sch ran 168 V. ἐκ τοῦ κόσμου πρὸς τὸν Ἅδην, ἢ τῶν ἐκφερομένων τῆς πόλεως, ἀφ’ οὗ καὶ ἐκφορὰ, ἐπὶ τὸν Ἅδην, ὃ κοινῶς ἐξόδιον λέγεται. Θ. ἐὰν δὲ μὴ ὕρω: Ἀντὶ τοῦ, ἐὰν δὲ μὴ εὕρω.

sch ran 169 γράφεται καὶ ἔχω, ἤγουν, ἐὰν μὴ ἔχω ἀργύριον· ἵνα λείπῃ τὸ ἀργύριον. πρὸς τὸν βασταζόμενον νεκρόν.

sch ran 171 R. V. πός’ ἄττα: Ἀντὶ τοῦ, πόσα σκεύη ἔχετε.

sch ran 173 γελοίως δὲ ὁ βασταζόμενός φησιν, ἀσθενῶς δὲ ἐρεῖ. ἡ δραχμὴ δὲ, ἓξ ὀβολῶν. δώδεκα οὖν ὀβολοὺς αἰτεῖ. (ὑπάγεθ’ ὑμεῖς: Ἀντὶ τοῦ ἀναχωρεῖτε.

sch ran 174 ἀποστρέφεται δὲ αὐτοὺς ὁ νεκρὸς, μὴ βουλόμενος σκευηφορεῖν, διὰ τὸ ἐλάχιστον εἶναι τὸν μισθόν. τὸ δὲ, ὑπάγετε ὑμεῖς τῆς ὁδοῦ, ὁ νεκρός φησι πρὸς τοὺς νεκροφόρους.) ἐὰν ξυμβῶ τί σοι: Ἐὰν ξυμβῶ σοι ἀντὶ τοῦ ἵνα ξυμφωνήσω σοί τι.

sch ran 175 (ἔλεγον δὲ τὸ ἵνα ἀντὶ τοῦ ἐάν. καὶ Ὅμηρος [Il. H, 353] «ἵνα μὴ ῥέξομεν ὧδε.») ἐννέ’ ὀβολούς: Ἀντὶ τοῦ μίαν ἥμισυ δραχμήν· ἡ γὰρ δραχμὴ ἓξ ὀβολοί.

sch ran 177 R. Θ. μίαν ἥμισυ δραχμὴν δίδωσιν ὁ Διόνυσος. V. ἀναβιῴην νῦν: (Ὀχλούμενος ὑπ’ αὐτῶν τοῦτο λέγει. ἐν ἤθει δὲ ἐκ τοῦ ἐναντίου ἡμῖν· οἷον ἀπολοίμην. οἱ δὲ, ὅτι χαλεπὸν ἦν τότε τὸ ζῆν, ὥστε ἄμεινον εἶναι τὸ τεθνάναι. εἰς κατάραν οὖν λαμβάνει τὸ ἀναζῆσαι ἐν Ἀθηναίοις. κατηγορίαν δὲ ἔχει οὐ τὴν τυχοῦσαν. Ἄλλως. ἐν ἤθει, ἐπεὶ ἁπλῶς ὁ) ἀνθρώπινος βίος μοχθηρός. ἢ ὅτι τότε Ἀθηναίων δυστυχούντων οἱ ἀπολλύμενοι ἐμακαρίζοντο. ἀντὶ τοῦ βαστάσω.

sch ran 178 V. ἐγὼ βαστάζω. R. ὠὸπ, παραβαλοῦ: Ἐλατικὸν ἐπίφθεγμα τὸ ὠόπ.

sch ran 180 τὸ δὲ παραβαλοῦ ἀντὶ τοῦ ὅρμισον τῇ γῇ τὴν ναῦν. ἐν τῇ νηὶ γὰρ ὁ Χάρων λέγει. —πλησίασον τὸ σκάφος τῷ λιμένι. Br. (τοῦτο λίμνη νὴ Δία: Τοῦτο οἱ μέν φασι τὸν Διόνυσον λέγειν, οἱ δὲ τὸν Ξανθίαν.

sch ran 181 ἐνταῦθα δὲ τοῦ πλοίου ὀφθέντος ἠλλοιῶσθαι χρὴ τὴν σκηνὴν καὶ εἶναι κατὰ τὴν Ἀχερουσίαν λίμνην τὸν τόπον ἐπὶ τοῦ λογείου, ἢ ἐπὶ τῆς ὀρχήστρας, μηδέπω δὲ ἐν Ἅιδου.) χαῖρ’ ὦ Χάρων: Δημήτριός φησιν Ἀχαιοῦ ὅλον εἶναι ἐκ τοῦ Αἴθωνος.

sch ran 184 λέγουσι δ’ αὐτὸ οἱ σάτυροι, Χαῖρ’ ὦ Χάρων χαῖρ’ ὦ Χάρων χαῖρ’ ὦ Χάρων. ἦ που σφόδρα θυμοῖ. Ἄλλως. πιθανὸν ὑπονοεῖν τρεῖς τοῦτο λέγοντας, ἀσπαζομένους τὸν Χάρωνα, Διόνυσον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξανθίαν καὶ τὸν νεκρόν. δεῖ γὰρ ὑπονοῆσαι βούλεσθαι καὶ αὐτὸν συνεμβαίνειν αὐτοῖς. ⟦ τίς εἰς ἀναπαύλας: Εἰς ἀναπαύσεις γὰρ ἐκ κοσμικῶν ὀχλήσεων χωροῦσιν οἱ μεθιστάμενοι.

sch ran 185 ⟧ τίς εἰς τὸ Λήθης πεδίον: Τοῦτο κηρύσσει ὁ Χάρων.

sch ran 186 ὡς τόπους δὲ καταλέγει. ἐκ δὲ τοῦ δευτέρου τὸ ἀδύνατον τῶν καθ' Ἅιδου δηλοῖ, τοῦ (ἢς ὄνου πόκας ἀντὶ τοῦ) ἢ εἰς ὄνου πόκας. ἀδύνατον γὰρ πόκας ἀποκείρασθαι τῶν ὄνων. φαίνεται δὲ καὶ παροιμιῶδες ἤδη εἶναι. τὸ δὲ Λήθης πεδίον, Δίδυμός φησι, χωρίον ἐν Ἅιδου διατετύπωκεν (οὕτω λεγόμενον, ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν ἀπὸ τοῦ τοὺς νεκροὺς αὐαίνεσθαι καὶ ἀλίβαντας εἶναι. ὄνου δὲ πόκας τὸ ἄχρηστον· οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκες χρησιμεύουσιν. ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν ἀνηνύτων, ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ χύτραν ποικίλλεις, καὶ κόπρον ἀναθυμιᾷς. ἀνήνυτα δὲ καὶ τὰ ἐν Ἅιδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνέπλασε ποιητικῶς.) —ἢ 'ς ὄνου πόκας: Εἰς τὸ μηδέν. Vict. ἢ 'ς Κερβερίους: (Τινὲς καὶ παρ' Ὁμήρῳ [Od.

sch ran 187 Λ, 14] γράφουσιν «ἐνθάδε Κερβερίων» ἀντὶ τοῦ Κιμμερίων· ἢ μᾶλλον τοὺς Κιμμερίους φασί. παίζει δὲ παρὰ τὸν Κέρβερον.) —ὄνομα τόπου κηρύσσει ὁ Χάρων. Κερβερίους δὲ τοὺς Κιμμερίους λέγει. R. περαιωθῆναι μὲν ἐκεῖ οὔκ ἐστι, κατάβασις δὲ εἰς Ἅιδου ἐκεῖ, ὡς μυθεύεται. V. σχήσειν: Ὁρμίσειν.

sch ran 188 V. ἐλλιμενίσειν. E. ἐς κόρακας: Παίζει ἐνταῦθα εἰπὼν ἐς κόρακας.

sch ran 189 Ἀθήνησι γὰρ τόπος ἦν οὕτω καλούμενος, οὐχὶ ἐν Ἅιδου. ἢ τοῦτο λέγει, ἐπειδὴ καὶ οἱ ἐκεῖσε ῥιπτόμενοι εἰς ἀπώλειαν ἤρχοντο. ⟧ ναὶ μὰ Δία σοῦ γ' εἵνεκα: Παρόσον οὕτως οἱ ναῦται εἰώθασι λέγειν χαριζόμενοι τῷ ἐπιβάτῃ. εἰ μὴ νεναυμάχηκε: (Τὴν περὶ Ἀργίνουσαν φησὶ ναυμαχίαν.

sch ran 191 ἦσαν γὰρ οἱ δοῦλοι τότε ναυμαχήσαντες, περὶ οὐδενὸς ἄλλου ἢ περὶ τῶν ἰδίων κρεῶν, τουτέστι σωμάτων. φησὶν οὖν, οἷον οὐ περὶ χρημάτων καὶ πατρίδος, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. κρέας γὰρ τὸ σῶμα. φέρεται δὲ καὶ ἄλλη γραφή· τὴν περὶ τῶν νεκρῶν. εἴη δ' ἂν λέγων περὶ τῆς ἐν Ἀργινούσαις ναυμαχίας, ἐν ᾗ ἐνίκων μὲν οἱ Ἀθηναῖοι, τοὺς νεκροὺς δὲ ἐκωλύθησαν ἀνελέσθαι ὑπὸ χειμῶνος. ἐξ οὗ καὶ τῶν δέκα στρατηγῶν ἀπώλοντο καταδικασθέντες οἱ ὑπομείναντες ἕξ. ἐπεὶ οὖν συνεναυμάχουν καὶ οἱ δοῦλοι, τοιοῦτό τι λέγει, δοῦλον οὐκ ἄγω, εἰ μὴ ἀνῄρηται τοὺς ἐκ τῆς θαλάσσης νεκρούς. οὐκ ἔχει δὲ νοῦν τὸ λεγόμενον. ναυμαχίας γὰρ οὐδεμιᾶς ἔδει πρὸς τὴν ἀναίρεσιν. χειμῶνι δὲ ἐκωλύθησαν. Ἄλλως. διὰ τί τὸν δοῦλον μόνον ἀπελαύνει, ἀλλ' οὐχὶ καὶ τῶν ἐλευθέρων εἴ τις μὴ ἀνῄρηται τοὺς νεκρούς; παρίησι γὰρ τὸν Διόνυσον. ἢ εἴη ἂν λέγων νεκροὺς τοὺς Ἀθηναίους, διὰ τὸ ἐσχάτως τότε πράττειν. Ἄλλως.) διάφοροι αἱ γραφαί· οἱ μὲν γὰρ κρεῶν, ὡς Ἀρίσταρχος φησὶν ἐπὶ τῶν σωμάτων λαμβάνεσθαι πολλάκις, καὶ παρὰ τῷ Σοφοκλεῖ ἐν Χρύσῃ τοιοῦτος ὢν ἄρξειε τοῦδε τοῦ κρέως. ἐνθάδε οὖν εἰ μὴ νεναυμάχηκε περὶ τῆς ψυχῆς τῆς ἑαυτοῦ· ὡς ποτὲ τῶν Ἀθηναίων ἐν περιστάσει γενομένων καὶ ὑπὲρ τῶν ψυχῶν ἀγωνιζομένων, προσλαβεῖν τοὺς δούλους καὶ ὕστερον ἐλευθερίας ἀξιῶσαι. ἕτεροι δέ φασιν αἰνίττεσθαι τὴν περὶ Ἀργινοῦσαν ναυμαχίαν, ἣν διὰ τοὺς νεκροὺς ἠγωνίσαντο, τὴν δευτέραν γραφὴν αἱρούμενοι. —τὴν περὶ τῶν κρεῶν: Τῶν νεκρῶν σωμάτων. D. (οὐκοῦν περιθρέξει: Περικυκλεύσεις.

sch ran 193 ὁ Χάρων πρὸς τὸν δοῦλον. ἀντὶ τοῦ οὐ λαμβάνω σε.) ⟦ ἀντὶ δὲ τοῦ τρέχων, γράφεται καὶ κύκλῳ. ⟧ παρὰ τὸν Αὐαίνου λίθον: Παρὰ τὸ αὔους τοὺς νεκροὺς εἶναι, ὡς ὄντος τινὸς ἐν ᾅδου οὕτως λεγομένου λίθου.

sch ran 194 (φασὶ δὲ αὐαίνου λίθον τινὰ λέγεσθαι Ἀθήνησι, παρ' ὃν οἰκείως ἀπὸ τοῦ αὐαίνου παρήχθη, ἐπειδὴ οἱ πολὺν χρόνου περιμείναντές τινας εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλούμενον τοῦτο ἤδη. Ἄλλως. τοῦτο ἀναπλάττει ἀπὸ τοῦ τοὺς νεκροὺς ξηροὺς εἶναι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλίβαντας. ἀμφίβολον δὲ, πότερον ἀπὸ τῆς εἰς ος εὐθείας, ἢ ἀπὸ τῆς εἰς ης. Ἄλλως. τὸ μὲν φαινόμενον λίθος ἦν Αὐαίνου καλούμενος, τὸ δ’ ἀληθὲς οὕτως ἔχει· παρὰ τὸν λίθον αὐαίνου καὶ ξηραίνου. ἢ ὅπου ξηραίνονται οἱ νεκροί.) τῷ ξυνέτυχον: Ἀντὶ τοῦ, τίνι οἰωνῷ συνέτυχον ἐκ τῆς οἰκίας ἰών; δύναται δὲ τοῦτο καὶ ὁ Διόνυσος καὶ ὁ Ξανθίας λέγειν.

sch ran 196 —ξυνέτυχον: Συνήντησα. ἐξιών: Τῆς οἰκίας. Vict. (κάθιζ’ ἐπὶ κώπην: Τοῦτο ἀκούσας ὁ Διόνυσος ἐπάνω τῆς κώπης ἐκάθισε.

sch ran 197 ) —κάθιζ’ ἐπὶ κώπην: Ἤγουν ἐπὶ τῷ μεταχειρίζεσθαι ταύτην· ὁ δὲ παρανοήσας ἐπάνω ταύτης ἐκάθισεν. C. ὁ μὲν Χάρων, κάθιζε ἐπὶ κώπην, εἴρηκε τοῖς ἐν τῷ σκάφει, ὥστε μεταχειρίζεσθαι ταύτην καὶ κωπηλατεῖν. ὁ δὲ Διόνυσος παρανοήσας ἐκάθισεν ἐπάνω τῆς κώπης· διὸ καὶ ἐπιπλήττεται παρὰ τοῦ Χάρωνος. Vict. τοπικὸν τὸ οὗ.

sch ran 199 R. γάστρων: Γαστρίμαργε.

sch ran 200 (εἰσάγουσι γὰρ τὸν Διόνυσον προγάστορα καὶ οἰδαλέον ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας.) πρὸς τὰ ῥεύματα ἀντιβάς.

sch ran 202 R. V. μὴ φλυαρήσῃς ἔχων: Καὶ Πλάτων Εὐθυδήμῳ [p. 224, E] «ὅτι ἔχων «φλυαρεῖς, καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος.» Junt. ἔχων: Περισσόν. C. ὁ κᾆτα ἀντὶ τοῦ καί.

sch ran 203 R. V. ἀθαλάττωτος: (Θέλει εἰπεῖν,) μὴ ὢν ναυτικός.

sch ran 204 (ἀθαλάττωτος δὲ καὶ ἀσαλαμίνιος ταυτόν ἐστιν. Ἄλλως. ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν, ἢ ὅτι ἡ μὲν ἑτέρα τῶν ὑπηρετίδων νεῶν Σαλαμινία ἐκαλεῖτο, ἡ δ’ ἑτέρα Πάραλος.) —ἀπὸ τῆς νεὼς ἡ ὀνομασία. R. ἀμέτοχος θαλάττης. μὴ ναυμαχήσας περὶ Σαλαμῖνα. τὰ κατὰ Ξέρξου δὲ οἶμαι. Θ. ⟦ ὠὸπ, ὂπ, ὠὸπ, ὂπ: Εἴσθεσις μέλους χοροῦ μονοστροφική· ἧς προτίθεται τὸ τοιοῦτον κῶλον δακτυλικὸν ὂν δίμετρον ἀκατάληκτον.

sch ran 208 κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὰ δὲ τοῦ χοροῦ κῶλά εἰσι δυοκαίδεκα, ὧν τὸ πρῶτον καὶ δεύτερον τροχαϊκὰ ἑφθημιμερῆ, τὸν πρῶτον ἔχοντα πόδα τρίβραχυν ἤτοι χορεῖον. εἰ δὲ βούλει, παιωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ παίωνος τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ τὸ πέμπτον τρίμετρον καταληκτικόν. τὸ ἕκτον μονόμετρον, ἢ ἰαμβικὴ βάσις. τὸ ἕβδομον δίμετρον ὑπερκατάληκτον Ἰωνικὸν ἀπὸ μείζονος. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον, τοῦ μὲν πρώτου ποδὸς πεντασυλλάβου τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἐκ χορείου καὶ ἰάμβου· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη· τοῦ δὲ δευτέρου Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ δὲ τρίτου διιάμβου. τὸ ἔνατον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑξῆς ὅμοιον. τὸ παρατέλευτον τρίμετρον ἀκατάληκτον· ὃ καλεῖται προσῳδιακὸν, διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα Ἰωνικὸν ἀπὸ μείζονος. τὸ τελευταῖον ὡς τὸ πρῶτον. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ (ὠόπ: ἐλατικὸν ἐπίφθεγμα. ναυτικῶς οὖν κελεύων ταῦτά φησι.) (βατράχων παραχορήγημα.

sch ran 209 ἐπίφθεγμα δὲ ποιὸν τοῦτο.) κέχρηται δὲ αὐτῷ ὡς ἐφυμνίῳ ὁ τῶν βατράχων χορός. (Ἄλλως. ταῦτα καλεῖται παραχορηγήματα, ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι, οὐδὲ ὁ χορὸς, ἀλλ’ ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ ἀληθῶς χορὸς ἐκ τῶν εὐσεβῶν νεκρῶν συνέστηκεν.) ἐλλείπει ὁ καί, ἵν’ ᾖ λιμνῶν καὶ κρηνῶν τέκνα. καὶ γὰρ ἐν κρήναις γίνονται καὶ εὑρίσκονται οἱ βάτραχοι. τὴν μετ’ αὐλῶν κοινήν.

sch ran 212 R. V. ὁμόηχον. Θ. δεῦτε ἵνα.

sch ran 213 Θ. ἐμὰν ἀοιδὰν: Τὸ ἡμέτερον μέλος, ἢ ὃν εἰώθαμεν ὕμνον ἡμεῖς προσφέρειν. Θ. Junt. Διὸς Διόνυσον ἐν Λίμναις: ⟦ Λείπει παῖδα.

sch ran 216 ⟧ (ἀπὸ τῶν ἑαυτῶν λιμνῶν μεταφέρουσιν ἐπὶ τὸν ἐν Λίμναις Διόνυσον λεγόμενον. Λίμναι δὲ χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν.) Λίμνη τόπος ἱερὸς Διονύσου, ἐν ᾧ καὶ οἶκος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νεὼς τοῦ θεοῦ. Π. Καλλίμαχος ἐν Ἑκάλῃ [fr. 280] «Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς.» — Νῦσα δὲ τόπος τῆς Ἀραβίας, ἔνθα γεννᾶται ὁ Διόνυσος. τὸ ἰαχήσαμεν ἀντὶ τοῦ ἰαχοῦμεν. V. τὸν ἐν Νύσῃ χώρᾳ Αἰθιοπίας γεννηθέντα υἱὸν δηλονότι. Θ. ⟦ Νύσιος δὲ ὁ Διόνυσος τοῖς Ἰνδοῖς ὀνομάζεται ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσης· οὐ μόνον δὲ Ἰνδοῖς, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν, ὥς φησι Φιλόστρατος ἐν τῷ Ἀπολλωνίου τοῦ Τυανέως βίῳ (p. 51) ⟧ κραιπαλόκωμος: ὁ κωμάζων ἐν κραιπάλοις τοῖς ἱεροῖς. V. τοῦτο μετωνυμία καλεῖται· ὁ κατὰ μέθην γινόμενος ὕμνος. τοῖς ἱεροῖσι Χύτροισι: Χύτροι ἑορτὴ παρ' Ἀθηναίοις.

sch ran 218 ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν, ἣν καὶ Θεόπομπος ἐκτίθεται γράφων οὕτως «διασωθέντας οὖν τοὺς «ἀνθρώπους, ᾗπερ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνό«ματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν. ἔπειτα «θύειν αὐτοῖς ἔθος ἔχουσι, τῶν μὲν Ὀλυμπίων θεῶν «οὐδενὶ τὸ παράπαν, Ἑρμῇ δὲ χθονίῳ καὶ τῆς χύτρας, «ἣν ἕψουσι πάντες οἱ κατὰ τὴν πόλιν, οὐδεὶς γεύεται «τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ, καὶ τοὺς «τότε παραγενομένους ὑπὲρ τῶν ἀποθανόντων ἱλάσα«σθαι τὸν Ἑρμῆν.» ἤγοντο δὲ ἀγῶνες αὐτόθι οἱ Χύτρινοι καλούμενοι, καθά φησι Φιλόχορος ἐν τῇ ἕκτῃ τῶν Ἀτθίδων. [ἑαυτῶν τέμενος λέγουσι τὸ ἐν Λίμναις τοῦ Διονύσου ἱερόν.

sch ran 219 ] ⟦ πρὸς δὲ τὴν ὁμωνυμίαν, ὅτι ἐν Λίμναις εἰσὶν οἱ βάτραχοι. λίμναι δὲ καὶ τὸ ἱερόν. ἐφεξῆς δὲ σύστημα καὶ περίοδος ἀμοιβαία ἑπτάκωλος ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ κώλου, ᾧ κέχρηνται ὡς ἐφυμνίῳ ὁμοίου τῷ πρώτῳ τοῦ μέλους αὐτῶν ἐπὶ τῷ τέλει παράγραφος. ⟧ ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι: Ὁ Διόνυσος (λέγει) δεινοπαθῶν ἐπὶ τῷ κωπηλατεῖν· ὄρρον δὲ, τὸν καλούμενον ταῦρον.

sch ran 222 μέρος δέ ἐστι τῆς πυγῆς. Ἡρωδιανὸς δὲ (καὶ τῷ λόγῳ καὶ κατὰ τὴν διάλεκτον) βαρέως. ⟦ ὦ κοὰξ, κοάξ: Διὰ τὸ συνεχὲς αὐτῶν ἐπίφθεγμα, παίζων λέγει· ὄρρον δὲ, τὸν λεγόμενον ταῦρον, τὸ μεταξὺ τῶν διδύμων.

sch ran 223 Καλλίστρατος, τὴν ὀσφῦν καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος, τὴν τράμιν, οὐχ ὥς τινες τὸ ἰσχίον. ἔνθεν καὶ τὸ ὀρρωδεῖν, τὸν ὄρρον ἱδροῦν. Ὅμηρος [Od. Υ, 204] «ἴδιον ὡς ἐνόησα.» τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι. ⟧ τὸ ὀρροπύγιον ἢ τὸ ἰσχίον. δεινοπαθεῖ δὲ ὁ Διόνυσος ἐπὶ τῷ κωπηλατεῖν. ὄρρον δὲ τὸν καλούμενον ταῦρον. ἔστι δὲ μέρος τῆς πυγῆς. Ἄλλως. ὄρρον τὸν λεγόμενον ταῦρον· οἱ δὲ τὴν ὀσφῦν καὶ τὸ ἱερὸν ὀστοῦν. πῶς οὖν ἐν Λυσιστράτῃ [964] διώρισται «ποία δ' ὀσφὺς, ποῖος δ' ὄρρος»; τῇ προφορᾷ δὲ Τιμαχίδας ὀρρόν ὡς ὀρθόν. Δίδυμος δὲ τὴν τράμιν φησὶν, οὐχ ὥς τινες τὸ ἰσχίον. ἐτυμολογεῖται δὲ τὸ ὀρρωδεῖν· οἱ γὰρ δεδοικότες ἰδίουσι τὸν ὄρρον. V. (ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ: Σὺν αὐτῷ δηλονότι τῷ κοάξ.

sch ran 226 Ὅμηρος [Il. Φ, 8] «ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἀνδράσιν.») ⟦ εἰκότως: Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτώ· ὧν τὸ πρῶτον τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον.

sch ran 228 τὸ δεύτερον Ἰωνικὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς παίωνος τετάρτου, τῶν δὲ ἑξῆς διτροχαίων. τὸ τρίτον χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τροχαϊκῆς συζυγίας. τὸ τέταρτον δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ ἰαμβικῶν συζυγιῶν ἤτοι διιάμβων. τὸ ἕκτον δίμετρον ἀκατάληκτον, ἔχον ἄμφω τὼ πόδε ἑξασυλλάβω. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ (εἰκότως οὐδὲν ἄλλο ἐσμὲν ἢ) κοάξ· αὐτὸ γὰρ τοῦτο πράττομεν. [ἢ εἰκότως ἀλγεῖς τὸν ὄρρον. πολυπραγμονεῖς γάρ.] ὦ πολλὰ πράττων: [Ὦ πολυπραγμονῶν.] ἤτοι ὅτι οὐχ ἡσυχίαν ἔχων πλεῖ, ἀλλὰ χλευάζει αὐτούς· ἢ ὅτι καὶ εἰς Ἅιδου ὑπέμεινεν ἐλθεῖν. ἢ ὦ πολλὰ περιεργαζόμενε. καὶ κεροβάτας: ⟦ Ὁ εἰς τὰ κέρατα τῶν ὀρῶν βαίνων· ἢ ὁ ἐπὶ κέρατος βαίνων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 230 ἢ ⟧ ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου. διὸ καὶ αἰγοβάταν καὶ τραγοβάμονα λέγουσιν. —ἢ οἷον κερατοβάτης. Ἄλλως. ὁ βαίνων ἐπὶ τῶν κεράτων. κέρατα δέ φασι τὰ ἀκρωτήρια. V. Δίδυμος δέ φησιν, ἤτοι ὅτι κέρατα ἔχει, ἢ οἷον κεροβάτης, τὴν βάσιν ἔχων κερατίνην· εἴπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχων. ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. —Ἄλλως. διὰ τὸ κεκερατωμένην ἔχειν τὴν βάσιν. οὕτω γὰρ ὠνύχωται ὥστε δοκεῖν κεκερατῶσθαι. οὕτω γοῦν καὶ αἰγίπους. V. καλαμόφθογγα: ⟦ Ἐξ οὗ ἡ σῦριγξ.

sch ran 231 ⟧ ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. ἢ ᾔδεσαν μὲν τὸ κέρας, ἀνέφερον δὲ τῷ ὀνόματι ἐπὶ τὴν ἀρχαίαν χρῆσιν, ὡς καὶ χορδὰς λέγομεν ἔτι νῦν τὰς ἐκ τῶν νεύρων, ὅτι τὸ παλαιὸν ἐντέριναι ἦσαν. Ἄλλως. ἐπεὶ σύριγγι ἥδεται ὁ Πὰν, ἥτις ἐστὶν ἐκ καλάμων. — ἠχώδη δὲ ἡδὺ ἀπὸ τῆς λύρας ἀνεπέμπετο, ἢ ὅτι κάλαμος πάλαι ἀντὶ τοῦ κέρατος ὑπετίθετο τῇ λύρᾳ. καὶ διὰ τοῦτο ἐκ συνηθείας κάλαμον καλοῦσι τὸ κέρας, ὡς Σοφοκλῆς ἐν Αἰχμαλωτίσι «ὑφῃρέθη σου κάλαμος ὡσπερεὶ λύρας.» V. ⟦ δόνακος δὲ, τοῦ λεπτοκαλάμου, μέλος ἀποτελοῦντος τῇ τοῦ ἀνέμου συγκρούσει. ἐν εἰσθέσει δὲ κῶλα πέντε· ὧν τὰ τρία ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ τέταρτον δῆλον. τὸ πέμπτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων βραχυκατάληκτον. ⟧ ἐν λίμναις: ἐν τοῖς ὕδασι.

sch ran 234 R. φλυκταίνας: Τὰ τῶν χειρῶν ἐπαναστήματα ἀπὸ τοῦ κωπηλατεῖν.

sch ran 236* —Ἄλλως. τὰ ἕλκη, τὰ οἰδήματα τὰ ἀπὸ καύσεως, ἃ καὶ φῷδας καλοῦσι. νυνὶ δὲ ἀπὸ τοῦ κωπηλατεῖν. V. λείπει δὲ ἐν ταῖς χερσί. —τὸ δὲ ἰδίει ἀντὶ τοῦ ἱδροῖ. καὶ Ὅμηρος [Od. Υ, 204] «ἴδιον ὡς ἐνόησα.» V. ἱδρώττει. Θ. πρὸς τοὺς βατράχους φησὶ διὰ τὸ φιλεῖν ᾠδήν.

sch ran 240 R. ⟦ μᾶλλον μὲν οὖν: Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων δέκα· ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων καὶ κρητικοῦ.

sch ran 241 τὸ β′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον ὅμοιον, τοῦ τρίτου ποδὸς τριβράχεος ἢ χορείου. τὸ τέταρτον ὅμοιον καθαρόν· τὸ πέμπτον ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ χοριάμβου. τὸ ἕκτον ὅμοιον σπονδειοκατάληκτον τῷ δευτέρῳ ποδί. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὰ ἑξῆς δύο τῷ δευτέρῳ πέφυκεν ὅμοια. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ εἰ δήποτ’ εὐηλίοις: Ἀντὶ τοῦ θερμαῖς. R. V. ὅτι ἐν τῷ χειμῶνι φοβούμενοι φεύγουσι καὶ ἀποσιωπῶσιν, ἐν δὲ τῷ θέρει ἄφοβοί εἰσιν. —ἢ ὅτι νηνεμίας οὔσης ᾄδουσιν οἱ βάτραχοι καὶ ὅταν τύχῃ ἀνέφελος ὁ ἀήρ. V. ἡλίου γὰρ ὄντος καὶ θαυμαστῆς οὔσης αἰθρίας τὸ τῶν βατράχων γένος ἄνω καὶ κάτω χωρεῖ καὶ πρὸς τὴν γῆν ἔσθ’ ὅτ’ ἐκφέρεται. Vict. ⟦ ἡλάμεσθα: Ἐπηδήσαμεν, ὡρμήσαμεν.

sch ran 243 κύπειρος δὲ εἶδος βοτάνης. ⟧ [καὶ φλέω: Φλέως λοχμῶδες φυτὸν, οὗ μνημονεύει Θεόφραστος, παραδηλῶν ὅτι ποτάμιος βοτάνη ἐστὶν ὡς τὸ βούτομον.

sch ran 244 μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;] (κύπειρον καὶ φελεὺς εἴδη βοτανῶν. τοῦ δὲ φελέως γεγεμισμένον ἦν τὸ ὄρος τῆς Ἀττικῆς, ἀφ’ οὗ καὶ ὁ δῆμος ἐκλήθη.) Ἄλλως. κύπειρον καὶ φελεὺς εἴδη εἰσὶν ἀνθέων φυόμενα παρὰ χείλη ποταμῶν. ἢ ὅτι λοχμῶδες φυτὸν ὁ φελεὺς, οὗ μνημονεύει Θεόφραστος, ὅτι ποτάμιός ἐστι βοτάνη καθάπερ καὶ τὸ βούτομον. V. νηκτικὸν γὰρ τὸ ζῷον.

sch ran 245 V. (ἢ Διὸς ὄμβρον φεύγοντες: Τὸν ἥλιον καὶ τὴν ἀλέαν διώκουσιν οἱ βάτραχοι, τὸν δ’ ὄμβρον φεύγουσιν, ἴσως ἐπεὶ τῶν χειμάρρων ποταμῶν πληρουμένων ἐκ τοῦ Διὸς ὄμβρου παρασύρονται.

sch ran 246 ) ἔνυδρον ἐν βυθῷ χορείαν: Τὴν νῆξιν χορείαν εἶπε.

sch ran 247 καὶ οὐ φθέγγεται μὲν ἐν τῷ βυθῷ, ἀλλ’ ἄνω κέκραγεν. ἁπλούστερον δὲ εἶπεν. τὴν πηδητικήν.

sch ran 248

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R. Θ. M. αἰόλαν: Ποικίλην. Θ. Vict. πομφολυγοπαφλάσμασιν: ⟦ Ἐν φύσκαις ῥηγνυμέναις καὶ ἦχόν τινα ἀποτελούσαις.

sch ran 249 ἢ ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι. τοῦτο δέ φησιν, ἐπειδὴ τῶν ἐξ ὑετοῦ σταγόνων πιπτουσῶν ἐν τῷ πηγῶν ἢ λιμνῶν ὕδατι πομφόλυγες ἤτοι φύσκαι συνιστάμεναι, αὐτίκα διαφθειρόμεναι ἦχον ἀποτελοῦσί τινα. ⟧ —πομφόλυγές εἰσι τὰ ἐπαναστήματα τῶν ὑδάτων. Ἄλλως. βοήμασι καὶ κεκράγμασι. πομφόλυξ δὲ καλεῖται ἡ σταγὼν τοῦ ὑετοῦ· καταπεσοῦσα γὰρ ἠχεῖ. V. ⟦ τουτὶ παρ’ ὑμῶν: Ἡ ἀμοιβαία αὕτη ἔκθεσις τῶν μελῶν τρισὶ διαιρεῖται περιόδοις· καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου κῶλα πέντε· ὧν τὸ μὲν πρῶτον δίμετρον ἀκατάληκτον καθαρὸν ἰαμβικόν.

sch ran 251 τὸ δεύτερον τροχαϊκὸν δίμετρον ὅμοιον. τὸ τρίτον ὅμοιον τοῦ δευτέρου τρίβραχυν ἔχοντος ἢ χορεῖον. τὸ τέταρτον ὅμοιον ἑφθημιμερές. τὸ τελευταῖον δῆλον. ⟧ [τὸ λέγειν βρεκεκὲξ παρ’ ὑμῶν ἔμαθον.] —τοῦτο ἀφ’ ὑμῶν λαμβάνω, ὅ ἐστιν ἀντὶ τοῦ ἀφαιροῦμαι, ἵνα μὴ λέγητε τὸ κοάξ. V. ⟦ δεινά γ’ ἄρα πεισόμεσθα: Πάθοιμεν ἂν ἐκ τῆς βοῆς, ἣν ἐπὶ τοσοῦτον παρατενοῦμεν, ἐφ’ ὅσον οἷοί τε ὦμεν.

sch ran 252 ⟧ —εἰ μέλλεις ἀφαιρεῖσθαι ἡμῶν δηλονότι τὸ βρεκεκέξ. V. εἰ κωλύσεις ἡμᾶς τοῦ βοᾶν. Vict. ⟦ οἰμώζετ’, οὐ γάρ μοι μέλει: Τῆς δευτέρας περιόδου τὰ κῶλα ὁμοίως πέντε τοῖς ἄνω καθ’ ἕκαστον ὁμοίως ἔχοντα.

sch ran 257 ὁ μέντοι πρῶτος τοῦ τρίτου κώλου ποὺς τρίβραχύς ἐστι. ⟧ δεῖ νοεῖν ὡς οἱ βάτραχοι ὑπὸ σκηνήν εἰσιν, ἀλλ’ οὐκ ἐν τῷ φανερῷ. ἡ μέντοι φωνὴ αὐτῶν ἐξακούεται, ὥσπερ καὶ αὐτοὶ κατὰ τὴν λίμνην ἠχοῦσιν. ἐπεὶ οὖν διαλελοίπασι καὶ χορὸς ἐγεγόνει, διὰ τοῦτο λόγον ἐποίησεν ὁ Διόνυσος, ἔμελλον ἄρα ὑμᾶς παύσειν. θηλυκῶς δὲ τὴν φάρυγγα λέγει. χανδάνῃ: Ἀντὶ τοῦ δύνηται καὶ ἐξισχύῃ.

sch ran 260 R. V. χωρῇ. δι’ ἡμέρας: Δι’ ὅλης ἡμέρας. Θ. Vict. ⟦ οὐ νικήσετε: Τῆς τρίτης περιόδου τὰ κῶλα ὀκτώ· ὧν τὰ μὲν πέντε ὅμοια πάντως τοῖς ἄνω πλὴν τοῦ τετάρτου τὸν δεύτερον πόδα τρίβραχυν ἔχοντος.

sch ran 263 τὸ δὲ ἕκτον καὶ ὄγδοον ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. τὸ γὰρ ἕβδομον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ ἀντὶ τοῦ ἐπὶ τούτῳ τῷ λέγειν βρεκεκεκέξ.

sch ran 264 πάντως ἀντὶ τοῦ παντελῶς. ἔξωθεν δὲ προσληπτέον τὸ νικήσεις. R. V. Θ. M. ἔμελλον ἄρα: Σιωπῶσιν οἱ βάτραχοι καὶ ἕτερος χορὸς εἰσέρχεται, ὡς προείπομεν, ὁ τῶν μυστῶν, ὅς ἐστιν ἀναγκαῖος.

sch ran 269 ⟦ ὦ παῦε παῦε: Κορωνὶς ἀμοιβαία εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μϛʹ. ὧν τελευταῖος ἀλλ’ ἠρεμεὶ πτήξαντες ἀκροασώμεθα. μετὰ δὲ τὸν μβʹ κῶλον ἰαμβικὸν ἑφθημιμερὲς τὸ, αὐλεῖ τις ἔνδον· ὃ κατὰ παρεπιγραφήν φασι κεῖσθαι· ὡς καὶ ἑξῆς τὸ, διαύλιον προσαυλεῖ. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ —παῦσαι τῆς κωπηλασίας, παραβαλοῦ δὲ τῷ πλοίῳ. R. V. Θ. M. ἢ παῦε τῆς ὁμιλίας. τῷ δὲ πλοίῳ παραβαλοῦ. πρὸς τὴν γῆν δὲ φθάσας φησὶ ταῦτα. M. παῦε, ὦ Διόνυσε, τῆς κωπηλασίας. πλησίασον τὴν ναῦν τῷ λιμένι. Θ. . παραβαλοῦ τῷ κωπίῳ: Πλησίασον τὴν ναῦν τῷ λιμένι διὰ τοῦ κωπίου. Vict. ἀπόδος τὸν ναῦλον: Καλλίστρατος ὅτι τὸν ναῦλον ἀρσενικῶς, καὶ οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν.

sch ran 270 διασώζεται δὲ (καὶ ἔν τισιν) ἡ γραφή. καὶ ἔστι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος «ἡ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται.» οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ διὰ δύο λλ λέγεται ναῦλλος καὶ ναῦλλον. ἔχε δή: Ἀντὶ τοῦ κράτει. ἐν Ἅιδου λοιπὸν τὰ πράγματα. ἦ Ξανθίας: Ὄντως ὑπάρχει ὁ Ξανθίας, ὃν ὁρῶ; Br.

sch ran 272

ἰαῦ: ⟦ Μίμημά ἐστι συριγμοῦ. ⟧ —τοῦτο ὁ Ξανθίας φησί. R. V. μεταβέβληται ἡ σκηνὴ καὶ γέγονεν ὑπόγειος.

sch ran 274 μεταβέβληται δὲ καὶ ὁ χορὸς τῶν βατράχων εἰς τοὺς μύστας. ἵνα δὲ κωμῳδήσῃ τοὺς Ἀθηναίους ὡς τοιούτους σκώπτει τοὺς ἐν τῷ θεάτρῳ, λέγων ὅτι καὶ νῦν ὁρῶ ἐνταῦθα τοὺς πατραλοίας. V. ὁ Ἡρακλῆς δηλονότι.

sch ran 275 R. ἀντὶ τοῦ ὁ Ἡρακλῆς. Ven. καὶ νυνί γ’ ὁρῶ: Τοὺς ἐν τῷ θεάτρῳ ἐπιόρκους ὁρᾶν φησιν.

sch ran 280 ἠλαζονεύετο: Ἀντὶ τοῦ ἐψεύδετο. καὶ Μένανδρος «ἀλλ’ ἀλαζὼν καὶ θεοῖσιν ἐχθρός.» γενναῖον.

sch ran 281 R. Θ. γενναῖον, ἰσχυρὸν, πολεμικόν. Μ. ἐπιδεικνύμενος. Θ. οὐδὲν γὰρ οὕτω γαῦρον: Παρὰ τὰ ἐκ Φιλοκτήτου Εὐριπίδου οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ.

sch ran 282 κενοδοξῶν. R. M. κομπαστικόν. Θ. ἀγώνισμα: Ἄθλου κατόρθωσιν ἀξίαν.

sch ran 286 ἐξόπισθε νῦν ἴθι: Ὡς φοβούμενος ὁ Διόνυσος ταῦτα λέγει· ὅθεν δὲ αἰσθάνεται τοῦ ψόφου, ἐκεῖθεν αὐτὸν ἄγει καὶ προβάλλει. (φέρ’ ἐπ’ αὐτὴν ἴω: Ὡς κατωφεροῦς τοῦ Διονύσου ἐπιτηδείως.

sch ran 291 ) Ἔμπουσα τοίνυν: Φάντασμα δαιμονιῶδες ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον.

sch ran 293 καὶ οἱ μέν φασιν αὐτὴν μονόποδα εἶναι, καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἑνίποδα (διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι)· οἱ δὲ ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ δὲ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς («χθονία θ’ Ἑκάτη σπείρας ὄφεων ἑλελιζομένη.» εἶτα ἐπιφέρει «τί καλεῖς τὴν Ἔμπουσαν;») καὶ σκέλος χαλκοῦν ἔχει: Τῷ χαλκῷ προσέθηκε τὸ βολίτινον ἐπίτηδες.

sch ran 294 ἔνιοι δὲ ὄνου σκέλος λέγουσι. διὸ καὶ παρά τισι καλεῖσθαι ὀνόκωλον· τὸ δὲ ὅλον, φησὶ Κράτης, ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. τινὲς ἓν πρόσωπον ὅλον λέγουσι. R. V. Θ. βολίτινον δὲ, ὄνειον. βόλιτος γὰρ κυρίως τὸ τῶν ὄνων ἀποπάτημα. ⟦ τὸ αὐτὸ δὲ καὶ βόλβιτος. ⟧ ἱερεῦ διαφύλαξον: Ἱερέως τινὸς ἀκολουθοῦντος αὐτῷ μέμνηται.

sch ran 297 R. V. Θ. M. (ἐν προεδρίᾳ κάθηται ὁ τοῦ Διὸς ἱερεύς. ἀποροῦσι δέ τινες πῶς ἀπὸ τοῦ λογείου περιελθὼν καὶ κρυφθεὶς ὄπισθεν τοῦ ἱερέως τοῦτο λέγει. φαίνονται δὲ οὐκ εἶναι ἐπὶ τοῦ λογείου, ἀλλ’ ἐπὶ τῆς ὀρχήστρας, ἐν ᾗ ὁ Διόνυσος ἐνέβη καὶ ὁ πλοῦς ἐπετελεῖτο, ὥστε μηκέτι ὁμοίως λόγον εἶναι, ἀλλὰ μὴν οὐ διὰ παντὸς ὄπισθε δεῖ γενέσθαι αὐτόν. Ἄλλως. V. παρὰ ταῖς θέαις προεδρίᾳ ἐτετίμητο ὁ ἱερεὺς τοῦ Διονύσου. πρὸς συνήθειαν οὖν καλεῖ ὁ Διόνυσος τὸν ἱερέα. Ἄλλως. ἤδη γὰρ ἦν τῶν μεμυημένων κατὰ τὴν σκηνὴν γενόμενος.) ⟦ οἱ δέ φασιν ἄτοπον εἶναι νομίζειν ἀκολουθεῖν αὐτοῖς ἱερέα· μὴ γὰρ ἐμφαίνεσθαι· τὸ δ’ ἀληθὲς οὕτως ἔχειν· οἱ μεγάλοις κακοῖς περιπίπτοντες, πρὸς ἱερεῖς ἐρχόμενοι, ἱκέτευον αὐτοὺς εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι εἰς ἀπαλλαγήν. κατὰ οὖν μίμησιν ἐκείνων καὶ οὗτος νῦν λέγει. ἔχειν δέ φασι καὶ λόγον εἶναί τινος τὸν στίχον ποιητοῦ νῦν διασυρόμενον. ⟧ Ἡράκλεις: Εἶχε γὰρ σχῆμα Ἡρακλέους ὁ Διόνυσος.

sch ran 298 ἢ καὶ ὡς ἀλεξίκακον Ἡρακλέα καλεῖ. μ’ ὤνθρωπε: (Πρὸς τὸ συνεχὲς τῆς ἀρχῆς τοῦ δευτέρου στίχου· διότι ἀπὸ συναλοιφῆς ἄρχεται.

sch ran 299 ) εὐλαβεῖται δὲ καταφανὴς γενέσθαι ὁ Διόνυσος. τοῦτό γ’ ἔθ’ ἧττον θατέρου: Πιθανῶς τὸ τοῦ δειλοῦ ἦθος, τὸ μηδαμῶς θέλειν φανερὸν γενέσθαι.

sch ran 300 θέλει δὲ εἰπεῖν ὅτι τοῦτο χεῖρόν ἐστι τοῦ ἑτέρου. ἴθ’ ᾗπερ ἔρχει: Τοῦτο ἔμφασιν παρέχει, ὡς προερχομένου αὐτοῦ πρότερον ὄπισθεν τοῦ ἱερέως ὄντος.

sch ran 302 πεπράγαμεν: Ἐπάθομεν. Br. Ἡγέλοχος: Τραγῳδίας ὑποκριτὴς, ὃν καὶ ἐν τῷ Ὀρέστῃ Εὐριπίδου, προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ [269] ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν’ ὁρῶ · (αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 303 ) τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. —ὅτι Ἡγέλοχος ὁ τραγικὸς ὑποκριτὴς ὢν τοῦ Εὐριπίδου Ὀρέστην ὑποκρινόμενος οὕτω προηνέγκατο ὥστε μὴ ὑποχωρῆσαι ἐκ τῆς συναλοιφῆς τὸ γαληνά, ἀλλὰ διαχωρῆσαι μᾶλλον, ὥστε δόξαι τὴν γαλῆν αὐτὸν εἰπεῖν. διὸ καὶ ἐνθάδε πειρατέον οὕτω προφέρεσθαι. ἐν ἐνίοις μέντοι τῶν Εὐριπίδου εὐκρινῶς γράφεται γαληνά. ὡς δ' ἀξιοῦσί τινες Ἀττικοὶ γαλῆν περισπῶσι λέγοντες ὡς χρυσῆν. πῶς ἔδοξεν ὁ Ἡγέλοχος ἐκ τῆς συναλοιφῆς γαλῆν εἰπεῖν; τὸ μὲν γὰρ περισπωμένως προενέγκασθαι οὐ πιθανόν. μήποτε οὖν οὐκ ἔλεγον οὕτως, ἀλλὰ γαλῆν. ὡς ἀηδὴς δὲ τὴν φωνὴν κωμῳδεῖται ὁ Ἡγέλοχος. V. ἔστι δὲ παροιμία ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. οἱ δὲ λέγοντες ποιήτριαν εἶναι τὸν Ἡγέλοχον Ἀθήνησι τούτῳ συνεχῶς χρωμένην τῷ ἔπει καὶ ἄλλ' ἄττα τῶν αὐτοσχεδίως συντιθέντων οὐκ ἀνεκτὰ τερατεύονται. —ἀποροῦσιν ἐνταῦθα πῶς ἐν Εὐριπίδου μὲν Ἠλέκτρᾳ τοῦθ' εὕρηται, ὁ δὲ λέγει, ὥσπερ Ἡγέλοχος. Cant.2. (ὁδὶ δὲ δείσας: Ὁ τοῦ Διονύσου ἱερεύς.

sch ran 308 πυρρὸς γὰρ ἦν κατὰ φύσιν. παρ' ὑπόνοιαν δὲ τὸ ἐπυρρίασε πρὸς τὸ ὠχρίασεν. Ἀρίσταρχος δέ φησιν ἐφ' ἑαυτοῦ λέγειν τὸν Ξανθίαν· καὶ γὰρ διότι πυρρὸς, οὕτως ἐπικεκλῆσθαι, καθάπερ Πυρρίας καὶ Σμικρίνης· ὁ δὲ Ἰξίων, ἐπί τινος τῶν καθημένων, ξανθὸν τὸ χρῶμα ὄντος. ἐν ἔθει γὰρ εἶναι διασκώπτειν τοὺς ἀκροωμένους, ὡς καὶ Πλάτων ἐν Παιδαρίῳ ποιεῖ. Εὔπολις δὲ τὸν τοῦ Διονύσου ἱερέα ὀνομάζει αἰγίπυρρον ἀντὶ τοῦ πυρρόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτριος ἱκανῶς ἐρυθρόν.) —ἐκκαλύψας τὸ αἰδοῖον εἶπε τοῦτο πρὸς τὸ ἐπυρρίασε παίζων. πυρρὸν γὰρ ἦν καὶ τὸ αἰδοῖον. V. ὑπερεπυρρίασε: Ἐξεκαύθη κατὰ τὸ πρόσωπον. Θ. Br. αἰθέρα Διὸς: Ἀντὶ τοῦ τὸν Εὐριπίδην· αὐτοῦ γὰρ ὁ ἴαμβος.

sch ran 311 ἢ τὴν ἐπιθυμίαν Εὐριπίδου τοῦ ταῦτα λέγοντος. R. V. Θ. M. πρὸς τὸ ἄνω εἰρημένον. αὐτὸς γὰρ αἴτιος τοῦ ταῦτα παθεῖν τὸν Διόνυσον. (V. Θ. M.) καὶ γὰρ δι' αὐτὸν κατῆλθεν εἰς Ἅιδου. V. κατήκουσας: Περισσὴ ἡ κατά.

sch ran 312 R. V. αὐλεῖ τις ἔνδοθεν: Παρεπιγραφή. σημαίνει γὰρ ὅτι ἔσωθέν τις ηὔλησε μὴ ὁρώμενος τοῖς θεαταῖς. ⟦ αὔρα τις: Μακροκαταληκτεῖ.

sch ran 314 τὰ γὰρ εἰς ρα εἰ μὲν μονοφθόγγῳ παραλήγει, μακροκαταληκτεῖ, πήρα. εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ· πλὴν τοῦ αὔρα, καὶ Φαίδρα παρ' Εὐριπίδῃ [Hipp. 48] Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω καλόν. ⟧ ἀποροῦσι τινὲς ἐνταῦθα, πῶς οὐ θέρμη δᾴδων εἶπεν, ἀλλὰ αὔρα. καὶ φαμὲν, ὅτι τοῦτο λέγει δεικνὺς, ὅτι καὶ δᾷδας οἱ μύσται ἔφερον, καὶ θεία πνοή τις ἐξ αὐτῶν ἐφέρετο. Junt. μυστικωτάτη: Τῶν ἐν Ἐλευσῖνι μυστηρίων. τινὲς δὲ εἰς τὸ μυστικωτάτη δύο ποιοῦσιν. ἠρέμα: Ἡσύχως.

sch ran 315 Br. πτήξαντες: Συστείλαντες ἑαυτούς. C. Ἴακχ', ὦ Ἴακχε: (Ἡ πάροδος τῆς ᾠδῆς ταύτης τοῦ τῶν μυστῶν χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταλήκτων.

sch ran 316 ἑξῆς δὲ τούτων σύστημα ἀμοιβαῖον ἐκ στίχων ἰάμβων τριμέτρων ἀκαταλήκτων πέντε.) — μετεβλήθη ὁ χορὸς εἰς μύστας. R. V. ἔφραζε: Ὁ Ἡρακλῆς.

sch ran 319 V. R. ὅνπερ Διαγόρας: Διαγόρας μελῶν ποιητὴς ἄθεος, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο, ὥσπερ Σωκράτης.

sch ran 320 (καὶ ὁ μὲν Ἀρίσταρχος Διαγόρου νῦν μνημονεύειν φησὶν οὐχ ὡς ᾄδοντος αὐτοῦ τοὺς θεοὺς, ἀλλ' ἐν εἰρωνείᾳ κειμένου τοῦ λόγου, ἀντὶ τοῦ χλευάζοντος, ἐξορχουμένου. ἀνακινεῖ οὖν τοὺς Ἀθηναίους ὁ κωμικός· ὅθεν καὶ οἱ Ἀθηναῖοι ὡς διαχλευάζοντος τοὺς θεοὺς καταψηφισάμενοι ἀνεκήρυξαν τῷ μὲν ἀναιρήσοντι ἀργυρίου τάλαντον, τῷ δὲ ζῶντα κομίσαντι δύο. ἔπειθον δὲ καὶ τοὺς ἄλλους Πελοποννησίους, ὡς ἱστορεῖ Κρατερὸς ἐν τῇ συναγωγῇ τῶν ψηφισμάτων. ἦν δὲ οὗτος Τηλεκλύτου παῖς, Μήλιος τὸ γένος, τὸν χρόνον κατὰ Σιμωνίδην καὶ Πίνδαρον. οἱ δὲ τὸ δι' ἀγορᾶς περισπῶσιν, ὡς Ἀπολλόδωρος ὁ Ταρσεὺς, καί φασιν)—Ἴακχον λέγειν, ὃν ᾄδουσιν ἐξ ἄστεως διὰ τῆς ἀγορᾶς ἐξιόντες εἰς Ἐλευσῖνα. γέγονε δὲ καὶ ἕτερος κωμῳδούμενος ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγέθει, Ἕρμιππος ἐν Μοίραις μείζων γὰρ ἢ νῦν δὴ ’στὶ, καὶ δοκεῖ γέ μοι, ἐάν τι τούτων ἐπιδίδωται ἡμέρας μείζων ἔσεσθαι Διαγόρου. V. ⟦ Ἄλλως. διθυραμβοποιὸς ὁ Διαγόρας ποιητὴς, συνεχῶς Ἴακχε Ἴακχε ᾄδων. ἢ κωμικὸς διθυραμβικὰ, τουτέστι Διονυσιακὰ δράματα ποιῶν. ⟧ ⟦ Ἴακχ’ ὦ πολυτιμήτοις: Ὠιδὴ καὶ στροφὴ κώλων ιδʹ· ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον· ὃ καλεῖται Γλυκώνειον.

sch ran 324 τὸ δεύτερον δίμετρον καταληκτικὸν, ἢ ἐξ ἀντισπάστου καὶ βακχείου. τὸ τρίτον ὅμοιον ὁποτερῳοῦν τῶν ἐν τῇ παρόδῳ. τὸ τέταρτον ἐκ διτροχαίου ἀντισπαστικοῦ καὶ βακχείου, Ἀλκαϊκὸν, φασὶ, καλούμενον. τὸ πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀνακλώμενον καθ’ Ἡφαιστίωνα καλούμενον, ἀντ’ Ἰωνικῶν παίωνα τρίτον καὶ ἐπίτριτον δεύτερον ἔχον. τὰ ἑξῆς δύο τὸν αὐτὸν τρόπον. τὸ ὄγδοον Ἰωνικὸν ἀπ’ ἐλάττονος πενθημιμερές. τὸ ἔνατον ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον, ἢ ἑφθημιμερές. τὰ ἑξῆς δύο Ἰωνικὰ ἐκ παιώνων τρίτων καταληκτικὰ ἢ ἐκ παίωνος καὶ, εἰς ὃν συναιρεῖται, βακχείου. τὸ δωδέκατον Ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον καθαρόν. τὸ τρισκαιδέκατον καθαρὸν μὲν, καταληκτικὸν δέ. τὸ τελευταῖον, ὡς τὸ δυωκαιδέκατον, ἐπιμεμιγμένον μέντοι ἐπιτρίτῳ δευτέρῳ, ἢ διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τριστιχία ἰαμβικὴ παραγράφῳ τερματιζομένη· μεθ’ ἣν ἀντῳδὴ καὶ ἀντιστροφὴ, παραπλησίως καθ’ ἕκαστον σχεδὸν τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων ἔχουσα τῇ στροφῇ. ἐφ’ ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ⟧ Ἴακχ’ ὦ πολυτιμήτοις: Μία τῶν μυστηρίων ἐστὶν ἡ εἰκὰς, ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. πολυτιμήτοις δὲ ἐν ἕδραις, καθὸ συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος. εἰσὶ γοῦν οἵ φασι Περσεφόνης αὐτὸν εἶναι· οἱ δὲ τῇ Δήμητρι συγγενέσθαι. ἄλλοι δὲ ἕτερον Διονύσου εἶναι τὸν Ἴακχον, οἱ δὲ τὸν αὐτόν. τινὲς δέ φασι, πολυτιμήτοις ἐν ἕδραις, καθὸ φιλοτιμότεροί εἰσιν οἱ μεμυημένοι ἐν Ἅιδου, ὡς σαφὲς ποιεῖ ἐν Εἰρήνῃ [375] δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι. ναίων: Κατοικῶν. Vict. ἀνὰ λειμῶνα χορεύσων: Ἐν τοῖς λειμῶσι τὰς χορείας ἐποιοῦντο διὰ τὰ ἄνθη, χορεύοντες ἐν τῷ προφανεῖ ἐν χοροῦ σχήματι.

sch ran 326 —ἀνὰ λειμῶνα: Διὰ γὰρ τὰ ἄνθη ἐν λειμῶσι τὰς χορείας ἐποιοῦντο. Vict. θιασώτας: Τοὺς χορευτάς.

sch ran 327 R. συγχορευτάς. Θ. οὕτω λέγει, οὐχ ὥς τινες, συνθιασώτας. V. τινάσσων: Κινῶν.

sch ran 328 Θ. Vict. βρύοντα: Ἀνθοῦντα.

sch ran 329 V. θάλλοντα. Θ. Vict. στέφανον μύρτων: Μυρσίνῳ στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι, οὐχ, ὥς τινες νομίζουσι, κισσίνῳ.

sch ran 330 ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τοῦτο μυρσίνῃ στέφεσθαι, ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεὸς καὶ ὅτι τοῖς χθονίοις ἀφιέρωτο. —ἡ μυρσίνη ᾠκείωται τοῖς χθονίοις θεοῖς, Διονύσου δεδωκότος, ὅτε ἀνήγαγε τὴν Σεμέλην. τρία γὰρ αὐτῷ ᾠκείωται, κισσὸς, ἄμπελος, μυρσίνη. μυθολογοῦσι δ’ ἐν Σάμῳ μόνῃ θεῶν μὴ προσφέρεσθαι τῇ Ἥρᾳ. ἐπεὶ γὰρ, ὥς φασιν, ἐξῃτεῖτο τὴν ψυχὴν τῆς Σεμέλης τοὺς κάτω θεοὺς, καθάπερ ἦν ἐπηγγελμένον, ὑποσχέσθαι λέγουσιν αὐτῇ τὸν Ἅιδην τοῦτο δράσειν, τοῦ Διονύσου τῶν μάλιστα τερπόντων αὐτῷ ἀντίψυχον ἀντ’ ἐκείνης πέμψαντος· τὸν δὲ Διόνυσον πυθόμενον τὰ παρὰ τῶν κάτω θεῶν ἐπεσταλμένα σοφίσασθαι πρὸς ταῦτα καὶ τριῶν ὄντων αὐτῷ μάλιστα ἠγαπημένων, τοῦ τε κισσοῦ καὶ τῆς ἀμπέλου καὶ τῆς μυρσίνης, ἀποστεῖλαι τοῖς κάτω θεοῖς αὐτήν. δηλοῖ δὲ καὶ Ἰοφῶν ὁ τραγικός. V. λείπει γέραιρε ἢ αὔξανε.

sch ran 331 ἀκόλαστον δὲ τὴν μὴ δεομένην κολάσεως, τὴν ἀναμάρτητον, ἣν οὐκ ἄν τις κολάσειε χορείαν. R. V. Θ. M. τὴν ἱεράν. R. V. ἀκόλαστον: Μανιώδη, βακχικὴν, ὁσίαν· οὐ γὰρ δὴ αἰσχρὰν καὶ ἀσελγῆ. τὸ δὲ ἐγκατακρούων πρὸς τὸ ὁσίοις μύσταις. —ἀκόλαστον: Μὴ κολάσεως ἀξίαν ἥγουν μέμψεως. Vict. ἀντὶ τοῦ χαρίτων πεπληρωμένην, ὅ ἐστι κεχαριτωμένην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 335 R. V. λείπει γεραίρων.

sch ran 336 R. τοῦτο εἶπε διὰ τὸ κρεοφαγεῖν ἐν τοῖς Θεσμοφορίοις καὶ ὅτι Δήμητρι καὶ Κόρῃ θύουσι τὸ ζῷον.

sch ran 338 R. ἐπειδὴ ἐν τοῖς Δημητρίοις χοῖροι· θύονται. V. Θ. ἔνιοι δέ φασιν οὕτω λέγειν τοὺς Ἀττικοὺς περισπωμένως τὸ κρεῶν. οὐκ ἄλογος δὲ ἡ περισπωμένη· γέγονε γὰρ τὸ πάθος ἐν αὐτῇ τῇ γενικῇ, κρεάων ὡς γεράων, εἶτα κρεῶν ὡς γερῶν. τοῦτο δὲ εἶπε διὰ τὸ χοιροσπαθεῖν τοῖς Θεσμοφορίοις. θύουσι γὰρ ἐν τοῖς μυστηρίοις τοῦ Διονύσου καὶ τῆς Δήμητρος τὸν χοῖρον, διότι λυμαντικός ἐστιν ἀμφοτέρων. V. Θ. ⟦ χοιρείων κρεῶν: Παρόσον χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο, ὡς λυμαντικοὶ τῶν θεοῖν δωρημάτων. εἰκότως δ’ ἐν ᾄδου ὢν ἐπιβοᾶται τὴν Περσεφόνην. ⟧ —χοιρείων κρεῶν: Πνοὴ δηλονότι. Vict. χορδῆς λάβῃς: Ἡ εἴλησις ἡ τῶν ἐντέρων ἐστὶ χορδή.

sch ran 339 ἣν εἰλητὸν καλοῦμεν ἡμεῖς. ἔγειρε φλογέας: Νοητέον οὕτως, ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων.

sch ran 340 [ἥκεις γὰρ νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.] φωσφόρος ἀστήρ: Τὸ μυστηριακὸν πῦρ φωσφόρον λέγουσι.

sch ran 343 λέγει δὲ, ἐπεὶ τὴν νύκτα λέγουσιν αἰνιγματωδῶς, διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους. ἢ ὅτι ἐν νυκτὶ ἄγεται τὰ μυστήρια. (ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα φωσφόρον ἀστέρα λέγειν. ὁ δὲ λόγος κολοβός ἐστιν, εἰ μὴ τὸ τινάσσων ἀντὶ τοῦ τινασσόμενος λαμβάνεται.) ⟦ ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. Ἴακχ’, ὦ Ἴακχε, ἀναλόγως τῇ στροφῇ γράφουσι καὶ τὸ χερσίν εἰς τὸ ἔγειρε συνάπτουσιν· ἥκεις γὰρ κατὰ ἀναστροφήν. νύκτωρ δ’ ἐτελεῖτο τὰ μυστήρια. ὧν τῆς τελετῆς οὐ μόνον χορευτὴς, ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ Διόνυσος. καὶ μὲν δὴ Διονύσου ἐν Ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν Διονυσίοις ἐτελεῖτο τὰ μυστήρια. ⟧ φλέγεται δὲ λειμών: Λειμὼν γὰρ ἀνάκειται καὶ ἄνθη ἀνειμένα τοῖς μύσταις ἐν τῷ πεδίῳ.

sch ran 344 δηλοῖ δὲ καὶ Σοφοκλῆς. —φλέγεται: καταλάμπεται. R. V. C. φέγγεται: Καταλάμπεται. E. διὰ τὴν χαρὰν νεάζουσιν οἱ γέροντες.

sch ran 345 ἡ δὲ δύναμις ἐν γόνασιν, ὡς καὶ ὁ ποιητὴς λέγει. —ὡς τῶν μυστῶν ὄντων γερόντων. V. ἀντὶ τοῦ τὸ βαρὺ τῆς ἡλικίας καὶ τοῦ γήρως.

sch ran 346 V. ⟦ χρονίων τ’ ἐτῶν: Εἰ μὲν οὕτω γράφεται, Ἰωνικόν ἐστι πενθημιμερὲς ἐκ παίωνος τρίτου ἀναλόγως τῷ ἐν τῇ στροφῇ ὀγδόῳ. εἰ δὲ χρόνους τ’ ἐτῶν, ὡς ἐν τοῖς πλείοσιν, ἰαμβικὴ ταυτοποδία. —ζητεῖται ἐνταῦθα, πῶς εἶπεν ἐνιαυτοὺς ἐτῶν, ἐπεὶ ἔτος καὶ ἐνιαυτὸς ταὐτόν. λύεται δὲ παρὰ τῶν παλαιῶν οὕτως· τὸ ἰαύειν ποτὲ μὲν ἐπὶ ὕπνου καὶ ἀνακλίσεως τίθεται, ὡς παρ’ Ὁμήρῳ «τῇ παριαύων τερπέσθω,» ἤγουν παρακείμενος· ὡς ἐπὶ πολὺ δὲ ἡ λέξις ἐπὶ διατριβῆς καὶ ἀργίας λέγεται, ὅθεν καὶ ἐνιαυτὸς ὁ μακρὸς καὶ πολλὴν ἔχων διατριβήν. διὸ καὶ τὸ ἐτέων ἐνιαυτοὺς ἀντὶ τοῦ διατριβὰς ἐξειλήφασιν. Vict. ἐνιαυτούς: Διατριβάς. Vict. ⟧ λαμπάδι: ἅπτων τῇ λαμπάδι.

sch ran 350 R. V. φλέγων: Λάμπων. Θ. Vict. προβάδην: προβαίνων τῷ ῥυθμῷ. R. V. πάνθηρον ἕλειον: Προσληπτέον τὸ εἰς.

sch ran 351 ἔξαγε εἰς τὸ πάνθηρον καὶ ἕλειον δάπεδον. πάνθηρον δὲ παντοδαπῶν θηρίων δεκτικόν. τινὲς δὲ ἀναγινώσκουσιν ἐπ’ ἀνθηρόν. —ἀνθηρὸν: Ἀνθῶν πλῆρες. Br. ἕλειον: ἑλῶδες. R. V. Τὴν εὐωχίαν, τὴν εὐτονίαν, τὴν χορείαν.

sch ran 352 V. χοροποιὸν ἥβην λέγει ἢ τὴν αὐτοῦ τοῦ Διονύσου ἡλικίαν τὴν τοὺς χοροὺς καθιστῶσαν, ἢ τοὺς χορεύοντας μύστας. C. ἥβαν: Ἡμᾶς χορευτάς. μάκαρ: Ὦ. Vict. εὐφημεῖν χρὴ: Ἀρίσταρχος ἐπὶ τούτων λέγει τὸν χορὸν μεμερίσθαι (εἰς μερικὰ ἀνάπαιστα, ἄλλα δὲ ἀμείβεσθαι τὸν χορόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 354 καὶ τί ἄρα συνεῖδεν ὁ Ἀρίσταρχος; δύναται δὲ καὶ ἐνσύζογον εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορίαν τὸ λοιπὸν, ὥστε εἰς δώδεκα καὶ δώδεκα διαμεμερίσθαι.) ⟦ Ἄλλως. εὐφημεῖν χρὴ, στροφὴ καὶ εἴσθεσις χοροῦ ἐπιρρηματική. ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ὀκτωκαίδεκα, ὧν τελευταῖος καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ λόγος ἀπὸ τοῦ ποιητοῦ, καίτοι δοκῶν εἶναι χοροῦ. ἰστέον δὲ ὅτι εἰ καὶ διὰ τοὺς ἐν Ἅιδου μύστας φαίνεται λέγειν, ἀλλὰ τῇ ἀληθείᾳ διὰ τοὺς ἐν Ἐλευσῖνι. ἐνταῦθα καὶ ὑφίστατο ἡ σκηνὴ τοῦ δράματος. ⟧ —κἀξίστασθαι: ἐκχωρεῖν. V. μὴ ἐμυήθη. [15]

sch ran 356 ὄργια δὲ τὰ μυστήρια. R. μήτε Κρατίνου: Πρὸς τοὺς περὶ Ἀρίσταρχον οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον.

sch ran 357 εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς «Διονύσου τοῦ ταυροφάγου.» ἢ ὅτι φίλοινος ἦν καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου αὐτῷ περιτιθέασιν. (οἱ δὲ ἔτι περιεργότερον ὅλον τὸν λόγον ἀποδιδόασι. μήτε Κρατίνου βακχεῖ' ἐτελέσθη, ἅ ἐστι τοῦ μοσχοφάγου Διονύσου.) ἢ τολμηρόν· (ἀπὸ τῶν βακχῶν). τολμηροὺς γὰρ διέσυρε τοὺς Ἀθηναίους ἐν τοῖς δράμασι. βωμολόχοις δὲ, τοῖς πρὸς χάριν λέγουσι καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετενήνεκται ἡ λέξις. οὗτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ λιπαροῦσι κολακεύοντες λαβεῖν τι παρὰ τῶν θυόντων. ⟦ τινὲς δὲ, τοῦ ταῦρον ἔπαθλον λαμβάνοντος. ἢ τοῦ λαιμάργου. ⟧ —μηδὲ Κρατίνου: τινὲς βούλονται τὴν φιλονεικίαν αὐτοῦ δηλοῦσθαι ἐκ τοῦ ταυροφάγου, ὅ ἐστι Διονύσου. ταυρόκερως γὰρ ὁ θεός. Εὐριπίδης [Bacch. 918] καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖ. οἱ δὲ οὕτως. μηδὲ Κρατίνου βακχεῖα ἐτελέσθη, ἅ ἐστι τοῦ ταυροφάγου Διονύσου, ἀπὸ τοῦ συμβαίνοντος ταῖς βάκχαις. διέσπων γὰρ βοῦς καὶ ἤσθιον ὠμὰ κρέα. Ἀπολλώνιος δέ φησι ταυροφάγον τὸν Διόνυσον ἀπὸ τῶν διδομένων τοῖς διθυράμβοις βοῶν. V. ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. [20]

sch ran 359 R. ὁ ἐναντίος τῷ δυσκόλῳ. V. τοῦτο πρὸς τοὺς ῥήτορας.

sch ran 360 R. V. ἤγουν πρὸ τῆς πόλεως.

sch ran 361 δῶρα λαμβάνει. R. ἢ προδίδωσι φρούριον: (Πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας.

sch ran 362 τὰ γὰρ ἀπόρρητα ἤκουσαν ὡς νῦν ἡμῖν ἔθος. διὸ καὶ ἐντεῦθεν λοιδορεῖται τῷ Θωρυκίωνι καὶ αὐτὸς ὅσον μὴ οἶδεν. ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι. ἐν γοῦν τούτοις ἐπιφέρει ἀσκώματα καὶ λίνα καὶ πίτταν. δῆλον ὅτι οὐδὲν ἔδει ἀποπέμπειν τούτων ἐξ Αἰγίνης, ὧν Θωρυκίων τὰ ἀπόρρητα Ἀθήνηθεν ἀποπέμπει. ὅτε οὖν πρὸς τοὺς Πελοποννησίους ἦν ὁ πόλεμος, ἀπόρρητον ἦν τὰ πρὸς ναυπηγίαν ἐξάγειν. ἤτοι δὲ ὁ Θωρυκίων ἐξ Αἰγίνης ὢν, ἢ εἰς Αἴγιναν ἐξάγων. καθὸ δὴ κοινὸν ἐμπόριον ἡ Αἴγινα.) οὗτος ταξίαρχος ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν Ἀθηναίων, ὃς πίσσαν ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν ἑαυτοῦ πόλιν. ὅθεν γνωσθεὶς ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. (τινὲς δὲ Θορυκίων γράφουσιν, ἀντὶ τοῦ τὰ τῶν Θορυκίων μιμούμενος.) —τἀπόρρητ': τὰ τῆς πόλεως μυστήρια. R. εἰκοστολόγος: Τὰ εἰκοστὰ ἐν τῇ κρίσει συνάγων. [15]

sch ran 363 —ἐπεὶ οἱ στρατηγοὶ ἀπῄτουν τὰς εἰκοστὰς τῶν λιμένων καὶ τῶν νήσων καὶ οὕτως ἀνήλισκον εἰς τὰ πολεμικά. V. ἀσκώματα: Εἰς διφθέρας γὰρ τὰς διανοίας τὰς ἑαυτοῦ γράψας ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ.

sch ran 364 (ἄσκωμα δερμάτιόν τι, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται, καθ' ὃ ἡ κώπη βάλλεται.) —δέρματα. Br. (Ἐπίδαυρον: Πόλιν Λακωνικήν.) (ἢ χρήματα: Κῦρος γὰρ Λυσάνδρῳ ἔπεμψε χρήματα τότε εἰς πόλεμον δανείου χάριν. [5]

sch ran 365 ) τῶν τῆς Ἑκάτης μυστηρίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 366 R. V. τοῦτο δὲ εἰς Κινησίαν τὸν διθυραμβοποιόν· οὗτος γὰρ ᾄδων κατετίλησε τῆς Ἑκάτης. R. Κινησίαν τὸν διθυραμβοποιὸν κωμῳδεῖ, ὃς εἰσήνεγκεν ἐν δράματι τὴν Ἑκάτην καὶ κατετίλησεν αὐτῆς. ἢ ἐπειδὴ ἠρυθρίασε ποίημα γράψας εἰς Ἑκάτην. V. Θ. M. ⟦ ἢ κατατιλᾷ: Ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Ἑκάτης ἀγάλματα, ὅτε πανηγυρίζει. Κινησίας δὲ τοῦτο πεποίηκε. ⟧ —ἢ κατατιλᾷ τῶν Ἑκαταίων, ἤτοι κατὰ τῶν ἀγαλμάτων τῆς Ἑκάτης κόπρον ἐκκρίνει διάρρυτον, τουτέστι ὑγρὰν, ὑπᾴδων τοῖς χοροῖς κυκλίοις ἤγουν λυρικοῖς ποιήμασιν. Vict. τοῦτο εἰς Ἀρχῖνον.

sch ran 367 μήποτε δὲ καὶ εἰς Ἀγύρριον. μέμνηται δὲ τούτων καὶ Πλάτων ἐν Σκευαῖς καὶ Σαννυρίων ἐν Δανάῃ. οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης τὸν μισθὸν τῶν κωμῳδῶν ἐμείωσαν κωμῳδηθέντες. V. M. ⟦ ἢ τοὺς μισθοὺς: Οὓς ἔλαβε παρὰ τῆς βουλῆς αὐτοῖς παρασχεῖν. λέγει δὲ διὰ τὸν Ἀρχῖνον. ⟧ ⟦ τελεταῖς: Τὸ τέλος ἑξαχῶς λέγεται· σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα, τὸ τῶν πραγμάτων πέρας, τὴν ταῖς πόλεσιν φοιτῶσαν πρόσοδον, τὸ ἀξίωμα, ὡς Εὐριπίδης [Sophocles Antig.

sch ran 368 67] τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ δαπάνημα, ὡς ὁ αὐτὸς μάτην γὰρ οἴκῳ σὸν τόδ’ ἐκβαίη τέλος. καὶ τὴν μυστικὴν καὶ οὕτω τελοποιὸν ἑορτήν. ὅθεν καὶ ἡ τελετὴ λέγεται καὶ τελεῖσθαι, τὸ μυεῖσθαι καὶ τελούμενοι, οἱ τὰ μυστικὰ ἤτοι θεῖα διδασκόμενοι. Θ. a m. sec. Vict. ⟧ (τούτοισιν ἀπαυδῶ: Παρὰ τὴν τοῦ ἱεροφάντου καὶ δᾳδούχου πρόρρησιν τὴν ἐν τῇ ποικίλῃ στοᾷ.

sch ran 369 ) χώρει νῦν: ⟦ Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ διαιρεθέντος τοῦ χοροῦ, ἐκ κώλων ἀναπαιστικῶν ι′, ὧν τὰ μὲν ἄκρα καὶ τὸ δ′ καὶ ε′ δίμετρα ἀκατάληκτα, τὸ δὲ δεύτερον καὶ ἕκτον ἑφθημιμερῆ.

sch ran 372 τὸ τρίτον καὶ τὸ ὄγδοον δίμετρα βραχυκατάληκτα. τὰ δὲ λοιπὰ τρίμετρα καταληκτικὰ εἰς συλλαβήν. ἑξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος. ⟧ ἐντεῦθεν Ἀρίσταρχος ὑπενόησε μὴ ὅλου τοῦ χοροῦ εἶναι τὰ πρῶτα. τοῦτο δὲ οὐκ ἀξιόπιστον. πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται (οἱ περὶ τὸν χορόν). —τῶν καθ’ Ἅιδου. οἱ τοῦ χοροῦ δὲ μύσται ἀλλήλοις παρακελεύονται. R. ἐγκρούων: (Βαίνων εὐρύθμως.

sch ran 374 ἢ ἀντὶ τοῦ ἐκβάλλων.) —ἤτοι βάλλων ἢ βαίνων. R. ἠρίστηται: Ἄριστον γεγένηται τὸ τῆς τελετῆς.

sch ran 376 ἔμβα δὲ, ἀντὶ τοῦ χόρευε. χόρευε.

sch ran 377 R. V. αἱρεῖς τὴν Σώτειραν: (Οἷον ὑψώσεις τοῖς ἐπαίνοις.

sch ran 378 ) ἔστιν Ἀθήνησι Ἀθηνᾶ Σώτειρα λεγομένη, ᾗ καὶ θύουσιν. —χὤπως αἴρεις: Σκόπει ὅπως μεγαλύνεις. C. χὤπως αἴρῃς: Καὶ σκόπει ὅπως ὑψώσῃς. D. μέλπω μολπάζω ὡς τρέχω τρόχω τροχάζω.

sch ran 379 V. εἰς νέωτα.

sch ran 380 R. V. ὁ γὰρ πόλεμος αὐτῷ ἐλυσιτέλει.

sch ran 381 R. V. M. ἕτερον τρόπον.

sch ran 382 R. V. Δήμητερ: ⟦ Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα· ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἑφθημιμερῆ Ἀνακρεόντια, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον «—κήσαντα ταινιοῦσθαι.

sch ran 384 » ἑξῆς δὲ ὡς ἐξ ἑτέρας στροφῆς κῶλα τέσσαρα, ὧν τὸ πρῶτον καὶ τὸ τρίτον ἰαμβικά· τὸ μὲν τρίμετρον, τὸ δὲ δίμετρον. τὰ δὲ λοιπὰ τροχαϊκὰ δίμετρα βραχυκατάληκτα, ἰθυφαλλικὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλούμενα Ἀρχιλόχεια. ἐπὶ τῷ τέλει παράγραφος. ⟧ —δίμετρα ἀκατάληκτα ἰαμβικά. ἕως τοῦ «τίς σὰς παρήειρε φρένας.» V. M. παῖσαι: Ὅπερ ἡμεῖς παῖξαι.

sch ran 388 Ὅμηρος [Od. Θ, 251] «παίσατε, ὥς χ' ὁ ξεῖνος.» —παῖσαι: Ἀντὶ τοῦ παῖξαι Ἀττικῶς. Vict. ταινιοῦσθαι: Ἀντὶ τοῦ στεφανοῦσθαι.

sch ran 393 ταινία γὰρ τὸ ῥάμμα τοῦ στεφάνου. τὸν ὡραῖον: Τὸν κατὰ καιρὸν φαινόμενον Διόνυσον· ⟦ ἐπεὶ τὸν καιρὸν τοῦ ἔαρος τὰς ἑορτὰς αὐτοῦ ἦγον, καὶ τὰ κωμικὰ δράματα ἐν ταύταις εἰσήγετο.

sch ran 395 ⟧ —ἄγ' εἶα: Τοῦτο λέγει, ἐπειδὴ, ὅτε ἔδευον, ἀπὸ τοῦ Κεραμεικοῦ εἰς Ἐλευσῖνα προέπεμπον τὸν Διόνυσον. Vict. ξυνοδεστήν.

sch ran 396 V. ⟦ Ἴακχε: Εἴσθεσις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα· ὧν τὰ μὲν α', β', δ', ς', ιβ', ιγ', ιε' τρίμετρα καταληκτικά· τὰ δὲ γ', η', θ', ιδ' δίμετρα ἀκατάληκτα.

sch ran 398 τὰ δὲ ε', ια', ις' καὶ τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὰ ζ' καὶ ι' ἑφθημιμερῆ. τὸ δὲ ιζ' τετράμετρον καταληκτικόν. ἐν ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ⟧ μεμιγμένως λέγει τὰ μὲν πρὸς τὸν Ζαγρέα Ἴακχον, τὰ δὲ πρὸς τὸν Διόνυσον. V. συνακολούθει: Τοῦτο, ἐπεὶ ὁδεύουσιν ἀπὸ τοῦ Κεραμεικοῦ εἰς Ἐλευσῖνα προπέμποντες τὸν Διόνυσον.

sch ran 399 ⟦ τὸ δὲ ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις, ἀντὶ τοῦ, μεθ' ἡμῶν ὢν ῥᾳδίαν πάνυ τὴν ὁδὸν ποιήσεις. ἢ ὅτι ἐν τοῖς ναοῖς διατρίβων, εἰ φανείης ἡμῖν ἐξαίφνης ἐπικαλεσαμένοις, ἐνταῦθα δείξεις τὰς ὁδοὺς ἄνευ πόνου τοῖς θεοῖς ποιεῖσθαι. πάντα γὰρ αὐτοῖς εὐπετῆ. —πάντα γὰρ εὐπετῆ φασὶ τοῖς θεοῖς. Cant.2. ⟧ τὴν Δήμητραν.

sch ran 400 V. περαίνεις: Εἴρηται γὰρ ὅτι ἐξ ἄστεως μέχρι Ἐλευσῖνος πολλὴν ὁδὸν πορεύεται.

sch ran 401 V. ἀπὸ ἄστεως μέχρι Ἐλευσῖνος. R. τελεῖς, διέρχῃ. εἴρηται γὰρ ὅτι ἐξ ἄστεος εἰς Ἐλευσῖνα ἐπορεύοντο. Vict. σὺ γὰρ κατεσχίσω: Ἴσον τῷ διὰ σὲ κατεσχίσθη.

sch ran 404 εἴρηται γὰρ ὁ αὐτὸς Ἴακχος τῷ Διονύσῳ κατά τινας. τῷ δὲ Διονύσῳ αἱ κωμῳδίαι ἀνάκεινται. ἔοικε δὲ παρεμφαίνειν ὅτι λιτῶς ἤδη ἐχορηγεῖτο τοῖς ποιηταῖς. (ἐπὶ γοῦν τοῦ Καλλίου τούτου φησὶν Ἀριστοτέλης ὅτι σύνδυο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς· ὥστε ἴσως ἦν τις καὶ περὶ τὸν Ληναϊκὸν ἀγῶνα συστολὴ, χρόνῳ δ' ὕστερον οὐ πολλῷ τινι καὶ καθάπαξ περιεῖλε Κινησίας τὰς χορηγίας· ἐξ οὗ καὶ Στράττις ἐν τῷ εἰς αὐτὸν δράματι ἐφῆ σκηνῆ μὲν τοῦ χοροκτόνου Κινησίου.) —ἢ οὕτως. κατηρτίσω καὶ σχιστὰ ὑποδήματα φορέσαι ἐποίησας. R. καὶ τὸ ῥάκος: Ἔτι δύναται καὶ ταῦτα τὴν αὐτὴν ἔννοιαν ἔχειν.

sch ran 406 ῥάκος δὲ οἱ μὲν τὸ τριβώνιον, οἱ δὲ τὸ προσωπεῖον, ὅτι ῥάκεσι κατακολλᾶται. —ἐπὶ εὐδαιμονίᾳ πρὸς τὸ εὐτελεῖν. R. V. ὅτι σύνηθες ἦν τὸ ἐπιλέγειν, ὁπότε ἐπαινοῖέν τι ἢ συνομολογοῖεν, καὶ Εὔπολις Κόλαξι.

sch ran 407 καὶ ἐν τοῖς πρόσθεν κεῖται. V. M. ἀπὸ τοῦ ἄστεως μέχρι Ἐλευσῖνος.

sch ran 408 V. ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀρτίως.

sch ran 410 R. συνεχόρευον γὰρ καὶ αἱ γυναῖκες.

sch ran 411 R. V. ⟦ καὶ μετ' αὐτῆς: Τοῦτο πρὸς τὸ ἄνω τὸ, συμπαιστρίας.

sch ran 414 μετ' αὐτῆς τῆς συμπαιστρίας δηλονότι. ⟧ κἄγωγε πρός: Τινὲς τοῦτο τοῦ Διονύσου φασὶ μεταξὺ παρεμβάλλοντος λέγειν.

sch ran 410 ⟦ βούλεσθε δῆτα: Στροφὴ καὶ εἴσθεσις χοροῦ ἐπιρρηματικὴ ἐκ κώλων πεντεκαίδεκα ἰαμβικῶν ἑφθημιμερῶν, πλὴν τοῦ γ', ς', θ', ιβ', καὶ τελευταίου τριμέτρων ἀκαταλήκτων. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ πρὸς λαγνείαν ἐπιρρεπὲς ἀμφοτέρων σκώπτων, τοῦ τε δεσπότου καὶ τοῦ δούλου, τοῦτό φησιν. ὁ δὲ Ἀρχέδημος ὡς ξένος παρ' αὐτοῦ κωμῳδεῖται. νόμος γὰρ ἦν τοὺς ἐξ ἀλλοδαπῆς Ἀθήνησι κατοικεῖν ἐθέλοντας εἰς πολίτας, ἐνταῦθα χρόνον ὀλίγον διατρίψαντας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγγράφεσθαι. ὅπερ Ἀρχέδημος οὐκ ἐποίησε. δέον οὖν εἰπεῖν ὅτι οὐκ ἐπολιτογραφήθη, ὥστε τοὺς πολίτας ὥσπερ συγγενεῖς ἔχειν, οὐκ ἔφυσεν, εἶπεν. ἑξῆς δὲ ταύτης τῆς στροφῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ κώλων ἀναλόγως τῇ στροφῇ κειμένων· ὧν τὸ τελευταῖον παραγράφῳ σημειοῦται. ⟧ οὐκ ἔφυσε φράτορας: (Ἀντὶ τοῦ εἰπεῖν, οὐκ ἔφυσεν ὀδόντας, εἶπε φράτορας, ἵνα ὡς ξένον διαβάλῃ.

sch ran 418 ἡ δὲ παροιμία, ἑπτέτης ὢν ὀδόντας οὐκ ἔφυσεν. Ἄλλως.) ἀντὶ τοῦ εἰπεῖν ὀδόντας φραστῆρας, φράτορας εἶπε, τουτέστι συγγενεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν παίδων, οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει οὖν ὅτι χρονίσας ἐν ταῖς Ἀθήναις οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. οὗτος ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις Βάπταις «ἐπιχώριος δ’ ἔστ’ ἢ ξένης ἀπὸ χθονός;» ἀντὶ τοῦ ἄρχει τοῦ δήμου.

sch ran 419 R. V. ἐν τοῖς ἄνω νεκροῖς: Οὐχ ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν, ὅτι διὰ τὴν κακοπραγίαν νεκροὺς τοὺς Ἀθηναίους λέγουσι· ψυχρὸν γάρ· ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας ἄνω νεκρούς φασιν, (ὅτι κατετρίβησαν ἐν τοῖς κακοῖς ὑπὸ τῶν στρατηγῶν).

sch ran 420 ⟦ Ἄλλως. νεκροὺς τοὺς Ἀθηναίους λέγει ἢ διότι τὸ ἀρχαῖον φρόνημα ἀποβεβλήκασιν· ἢ διότι οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι, εἰ καὶ ζῶσιν, ἀλλὰ τοῖς τοῦ βίου ματαίοις ἐγκυλινδούμενοι, δεινότερα τῶν τεθνηκότων πάσχουσι ζῶντες κολαζόμενοι· ἢ διότι πολλοῖς κακοῖς ὑπὸ τῶν δημαγωγῶν κατατριβόμενοι ἀναισθήτως ἔχουσιν ὡς νεκροὶ, αὐτοὺς ἀτιμωρήτους ἐῶντες. χάριεν δὲ τὸ ὑπὸ τῶν νεκρῶν τοὺς ζῶντας καλεῖσθαι νεκρούς. ⟧ —ἵνα διαβάλλῃ τοὺς Ἀθηναίους ὡς ἀσθενεῖς καὶ νεκρούς. V. τῆς ἐκεῖθεν μοχθηρίας: Ἀντὶ τοῦ εἰπεῖν, δημαγωγίας, ἢ πολιτείας, μοχθηρίας εἶπεν, χαριέντως πρὸς τὰ κακὰ αὐτῶν.

sch ran 421 —τὰ πρῶτα ἔχων. R. V. τὸν Κλεισθένη: Διαβάλλει τὸν Κλεισθένη ὡς φαυλόβιον, καὶ πρὸς τοῦ Σεβίνου πορνευόμενον.

sch ran 422 διὸ καὶ δεινοπαθοῦντά φησιν ἐπὶ τῇ τούτου τελευτῇ. —τὸν Κλεισθένην: Ἀντὶ τοῦ τὸν Καλλίαν. R. τὸν Καλλίαν. C. V. ὑποτίθεται υἱὸν Κλεισθένους, οὗ τὸ ὄνομα οὐκ εἶπε. καθ’ ὁμοιότητα γὰρ τοῦ πατρὸς ἐν ταῖς ἐρημίαις καὶ περὶ τὰς ταφὰς καὶ τοὺς τάφους κακῶς ἔπασχεν. Ven. ἐν ταῖς ταφαῖσι: (Ταφαὶ, ὅπου οἱ ἐν πολέμῳ ἐνδόξως τετελευτηκότες μετὰ τιμῆς ἐθάπτοντο δημοσίᾳ.

sch ran 423 Ἄλλως.) τοῖς κατὰ τὸν πόλεμον ἀποθανοῦσι δημοσίᾳ τάφους προὐτίθεσαν. τὸ οὖν τίλλειν τὰς τρίχας καὶ κόπτεσθαι ἅμα μὲν ὡς ἐπὶ τετελευτηκότι (ἀναγκαίως), ἅμα δὲ εἰς μαλακίαν καὶ τὸ κόπτεσθαι κακεμφάτως. Σεβῖνον, ὅστις ἐστὶν Ἀναφλύστιος: Ὀνοματοποιεῖ τοῦτο, ὡς πρὸς τὴν μαλακίαν Κλεισθένους, (παρὰ τὸ αἰσχρόν).

sch ran 427 πιθανῶς δὲ τὸ ὅστις ἐμφαίνει οὐ τὸν ὑπὸ ἑνὸς μόνον περαινόμενον. πέπλασται δὲ αὐτῷ ὥσπερ ὁ Σεβῖνος, οὕτω καὶ ὁ Ἀναφλύστιος. ἀναφλᾶν γὰρ ἔλεγον τὸ μαλάσσειν τὸ αἰδοῖον. —καὶ ὑποσύρειν τὸ καλύπτον τὴν βάλανον δέρμα. βάλανος δέ ἐστι τὸ ἄκρον τῆς πόσθης. Vict. (καὶ Σεβῖνος ἴσως παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ Σεβῖνος ὠνομασμένος παρὰ Πλάτωνι ποιητῇ.) ἔστι δὲ καὶ δῆμος Ἀττικῆς Ἀναφλύστιος. (τουτονὶ τὸν Ἱπποβίνου: Παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ.

sch ran 429 τὸ δὲ ἵππος πολλαχοῦ ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν· ἱππόπορνε. κωμῳδεῖται δὲ καὶ ὁ Καλλίας ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν, καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ἢ τοῦ κτηνοβάτου). — τοῦτον: Ὃν πάντες ἴσασι δηλονότι. C. ἐνημμένον: Ἐνδεδυμένον.

sch ran 430 Θ. Vict. Διόνυσος.

sch ran 431 ἄλλοι δὲ Ξανθίας. ἐρωτᾷ. R. μηδὲν: Τὸ δεν παρέλκει.

sch ran 434

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R. V. ἐρωτήσῃς με.

sch ran 435 R. τὸ ὁμοῖον καὶ ἐν Γηρυτάδῃ.

sch ran 436 V. αἴροι᾽ ἂν: Λάβοις ἄν.

sch ran 437 Θ. Ε. τὰ στρώματα δηλονότι. V. ἀλλ᾽ ἢ Διὸς Κόρινθος: (Παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων.

sch ran 439 ) τῶν Μεγαρέων ἀποστάντων Κορινθίων, ἀπεστάλη κῆρυξ πολλάκις λέγων ὅτι οὐκ ἀνέξεται ὑμῶν ὁ τοῦ Διὸς Κόρινθος· καὶ ἐπέμενέ τε τὸ αὐτὸ λέγων, ἕως οἱ Μεγαρεῖς σικχανθέντες ἔλεγον, παῖε παῖε τὸν Διὸς Κόρινθον, καὶ παροιμία ἐλέχθη ἐπὶ τῶν ταυτολογούντων ἀεὶ καὶ ταὐτὸ πραττόντων. ὁ δὲ Διὸς Κόρινθος, παῖς Διὸς, βασιλεὺς Κορίνθου. Μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν Κορινθίοις. —παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. προφέρονται δὲ παρὰ τὸν Διὸς Κόρινθον. καὶ Πίνδαρος μνημονεύει τῆς παροιμίας ἐν Νεμεονίκαις. Μεγαρεῖς ὑποτελεῖς ἦσαν τοῖς Κορινθίοις καὶ ἀπαιτούμενοι, φησὶν, ἀεὶ ὑπὸ τοῦ κήρυκος ταῦτα λέγοντος, οὐ τιμᾶτε τὸν Διὸς Κόρινθον. ὁ δὲ Διὸς Κόρινθος παῖς Διὸς βασιλέως Κορίνθου. οἱ δὲ ἀπέκτειναν αὐτὸν ἐπιφωνοῦντες παῖε παῖε τὸν Διὸς Κόρινθον. ἔνθεν ἡ παροιμία ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ πραττόντων. Ἄλλως. Μεγαρεῖς συνῴκουν Κορινθίοις καὶ πολλὰ πάσχοντες κακῶς ὑπ᾽ αὐτῶν ἀπέστησαν. εἶτα πρὸς αὐτοὺς ἀπελθόντες πρέσβεις ἠξίουν ἐπανελθεῖν καὶ συνεχῶς ἔλεγον, ὁ Διὸς Κόρινθος ὑμᾶς ποθεῖ, ὁ Διὸς Κόρινθος δι᾽ ὑμᾶς λυπεῖται, καὶ συνεχῶς τὸ ὁ Διὸς Κόρινθος ἔλεγον, ὅθεν εἰς παροιμίαν ἦλθεν ἐπὶ τῶν τὸ αὐτὸ ποιούντων. Ἄλλως. Κόρινθος παῖς ἦν τοῦ Διός, ἔκτισε δὲ τὴν Κόρινθον. καὶ ἀποθανόντα τοῦτον ἐσέβοντο οἱ Κορίνθιοι. Κερκυραῖοι δὲ ἄποικοι ὄντες Κορινθίων καὶ ὑποτελεῖς ὄντες τῇ μητροπόλει ὕστερον ἀφωσιώθησαν. καὶ οἱ Κορίνθιοι ἐπικηρυκευόμενοι πρὸς αὐτοὺς ἔλεγον, μνήσθητε τοῦ Διὸς Κορίνθου. καὶ οὕτως ἀπειρηκότες οἱ Κερκυραῖοι ἀπήλασαν τὸν κήρυκα λέγοντες παῖε παῖε τὸν Διὸς Κόρινθον. V. ὁ λόγος πρὸς τὸν χορόν. [30]

sch ran 440 R. ⟦ χωρεῖτε νῦν: Εἴσθεσις ἑτέρου μέλους προῳδικὴ διαιρεθέντος αὖθις τοῦ χοροῦ, καὶ τοῦ μὲν τὴν προῳδὴν ᾄσαντος, τοῦ δὲ τὴν ἀντιστροφήν. καὶ εἰσὶ τῆς μὲν προῳδῆς τὰ κῶλα ὀκτώ. τὸ πρῶτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν, τοῦ δευτέρου ποδὸς ἑξασυλλάβου. τὰ β′, δ′ καὶ τελευταῖον παιωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου, ἢ τετάρτου, καὶ βακχείου, ἢ ἀμφιβράχεος. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον καὶ ἕβδομον ἐπιχοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διιάμβου, ἢ ἐπιτρίτου τρίτου, καὶ χοριάμβου. τὸ ἕκτον τροχαϊκὸν ἰθυφαλλικόν. τῆς δὲ στροφῆς τὰ κῶλα ἓξ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ὧν τὰ πρῶτα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δεύτερα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ μέντοι τῆς ἀντιστροφῆς τρίβραχυν ἔχει τὸν δεύτερον πόδα· ἔνθα καὶ ἀντὶ τοῦ ἱλαρὸν, ἱερὸν γράφεται. τὰ τρίτα Ἰωνικὰ ἀπὸ μείζονος δίμετρα καταληκτικὰ ἐκ παίωνος δευτέρου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὰ πέμπτα καὶ τὰ ἕκτα ὁμοίως. τὰ μέντοι τῆς ἀντιστροφῆς ἀντ᾽ Ἰωνικῶν ἔχει παίωνας δευτέρους. τὰ τελευταῖα Ἰωνικὰ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδοῦ καὶ τῆς στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. ⟧ (χωρεῖτε: Δύνανται πάντες οἱ κατὰ τὸν χορὸν ἀλλήλοις παρακελεύεσθαι, καὶ μὴ εἰς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος.) ἤτοι Κόρης ἢ Δήμητρος. [25]

sch ran 441 R. οἷς μέτεστιν, οἷς ὅσιον.

sch ran 443 R. τῇ Δήμητρι καὶ τῇ Κόρῃ τὸ φέγγος οἴσων.

sch ran 445 R. V. Θ. Μ. πολυρρόθους: Πολυήχους.

sch ran 448 Bar. τὸν ἡμέτερον: Ἀντὶ τοῦ κατὰ τὸν ἡμέτερον τρόπον καὶ ὡς ἔθος ἔχομεν παίζοντες.

sch ran 453 Μοῖραι οἱ θεσμοί. R. M. ὅσοι μεμυήμεθ᾽: Ἀντὶ τοῦ ἐμυσταγωγήθημεν.

sch ran 456

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μυστήρια δὲ ἐκλήθη παρὰ τὸ τοὺς ἀκούοντας μύειν τὸ στόμα, [καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα]. —τοῖς μυσταῖς. R. V. καὶ τοὺς ἰδιώτας: Ἀντὶ τοῦ, τοὺς ἰδίους, τοὺς πολίτας.

sch ran 459 ἀντέστραπται δὲ τοῦτο τὸ ἴδιον ἀντὶ τοῦ ἰδιωτικοῦ, καὶ οὕτω πολλάκις εἴρηται. σημειωτέον δὲ ὅτι καὶ ἰδιώτης λέγεται ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής. — ἀντὶ τοῦ ἰδίους. ἐν παραγωγῇ ἴδιος ἰδιώτης. V. καὶ ἰδιώτας: Τὸ ἰδιωτικὸν κατὰ τοὺς παλαιοὺς τέσσαρα σημαινόμενα ἔχει. σημαίνει γὰρ τοὺς ἰδίους ἢ συγγενεῖς ἢ πολίτας, ὡς ἐνταῦθα. σημαίνει καὶ τὸν ἀμαθῆ. ἐλέγοντο καὶ ἰδιωτικὰ τὰ ἀντιδιαστελλόμενα πρὸς τὰ θεῖα, ἤτοι τὰ ἀνθρώπινα, ὡς ὅταν φῶμεν θεῖα χρήματα καὶ ἰδιωτικά. καὶ τέταρτον τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ δημοτικόν. Vict. ⟦ ἄγε δὴ: Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν.

sch ran 460 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οδʹ. ὧν τελευταῖος ἐμοῦ δεηθείης ἂν, εἰ θεὸς θέλει. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ ἐπανάληψις τὸ τίνα. R. V. ὡς ἐπὶ ξένων.

sch ran 461 R. ἀντὶ τοῦ ἅψαι.

sch ran 462 V. ἅψαι. Ἀττικῶς. Θ. τὸ φρόνημα.

sch ran 463 R. V. Θ. εἷς τῶν ἐν Ἅιδου λέγει.

sch ran 465 τινὲς δὲ τὸν Αἰακὸν λέγουσιν ἀποκρίνασθαι· ὅπερ ἀπίθανον. V. παραπλήσιά ἐστι τούτοις τὰ ἐν τῷ Θησεῖ πεποιημένα παρ' Εὐριπίδῃ.

sch ran 467 ἐκεῖ γὰρ τοιοῦτος ἦν σπουδάζων καὶ τοιαῦτα λέγει πρὸς τὸν Μίνωα. διστάσαι δὲ ἄν τις μὴ καὶ ταῦτα μιμεῖται Ἀριστοφάνης. προείρηται ὅτι πολὺς ἐν τούτῳ τῷ γένει ἐστὶν Ἀριστοφάνης. V. ἀντὶ τοῦ ἀπέδρασας.

sch ran 468 R. V. ἀλλὰ νῦν ἔχει μέσος: Ἀντὶ τοῦ, μέσον ἐλήφθης.

sch ran 469 τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ, οὕτως Ἀττικοὶ, ἀντὶ τοῦ ἔχῃ· ἀπὸ τοῦ ἔχομαι δευτέρου προσώπου. μελανοκάρδιος: Διὰ τὸ τῆς λέξεως φοβερὸν εἶπε μελανοκάρδιος πέτρα.

sch ran 470 οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. ⟦ ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων, οὓς διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀγριότητα μελανοκαρδίους φασί. ⟧ —ἐκ Θησέως Εὐριπίδου. Θ. (καὶ τὰ μὲν ἑαυτῷ πλάττων λέγει, τὰ δὲ ἐξ Εὐριπίδου, πρὸς φόβον Διονύσου.) περίδρομοι: Οἷον πανταχοῦ δυνάμενοι περιστρέφεσθαι· λέγει δὲ τὰς Ἐρινύας.

sch ran 473 (Ἔχιδνά θ' ἑκατοντακέφαλος: Ὁ τόπος οὗτος παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου κάρα τε γάρ σου συγχεῶ κόμαις ὁμοῦ, ῥανῶ τε πεδός' ἐγκέφαλον, ὀμμάτων δ' ἄπο αἱμοσταγεῖς πρηστῆρες ὕσονται κάτω. ) πνευμόνων: Ἀττικοὶ τὸν πνεύμονα πλεύμονα λέγουσιν, ὡς καὶ τὸ νίτρον λίτρον.

sch ran 474 R. V. Cant.2. Ταρτησία μύραινα: Μύραινα, δαίμων φοβερά· παρὰ τὸ μύρεσθαι.

sch ran 475 παρὰ τὰ ἐν τῷ Θησεῖ Εὐριπίδου. Ταρτησίαν δὲ εἶπε μύραιναν πρὸς τὸ ἐκπληκτικώτερον, διὰ τὸ ἐκτετοπισμένον. λέγουσι δὲ Ταρτησίαν γαλῆν, ἀντὶ τοῦ μεγάλην. ἡ δὲ Τάρτησος Ἰβηρικὴ πόλις περὶ τὴν Ἄορνον λίμνην. μύραινα δὲ ἰχθὺς θαλάσσιος. ἀντὶ δὲ τοῦ εἰπεῖν ἔχιδναν, μύραιναν εἶπε. (τὸ γὰρ Στυγὸς ἐπὶ πλησίον εἶπε τούτοις. ἔστι δὲ ταῦτα ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτός ἐστι σπουδάζων ὁ Εὐριπίδης οἷος ἐνταῦθα παίζων.) Γοργόνες Τιθράσιαι: Ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ.

sch ran 477 οὐκ εἰκῇ δὲ τοῦτο εἶπεν, ἀλλ' ἐοίκασι τὸν δῆμον τοῦτον διαβάλλειν ὡς κακοπράγμονα. εἰσὶ δὲ οὗτοι ἀπὸ Τίθραντος τοῦ Πανδίονος παιδὸς ἐπώνυμοι. εἰς δὲ τὴν Αἰγηΐδα φυλὴν κατανενέμηνται. (Ἄλλως. Τιθράσιος, τόπος τῆς Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον). — διασπαράξωσι. τόπος τῆς Λιβύης. R. ἀντὶ τοῦ νικήσω.

sch ran 479

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὗτος, τί δέδρακας: Ἰδὼν ὁ Ξανθίας διὰ τὸν φόβον ἀποπατήσαντα τὸν Διόνυσον, φησὶν, οὗτος, τί δέδρακας; τὸ δὲ κάλει θεὸν τινὲς οὕτως ἀποδεδώκασιν. ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα, λέγει, καλεῖτε θεόν. καὶ οἱ ὑπακούοντες βοῶσι, «Σεμελήϊ' Ἴακχε πλουτοδότα.» ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον. ἐπειδὰν γὰρ σπονδοποιήσωνται, ἐπιλέγουσιν, ἐκκέχυται, κάλει θεόν· πρὸς ὃ ἐξείλεκται εἰς τοῦτο. Ἄλλως. κάλει θεόν: Πρὸς βοήθειαν κάλει θεόν. οὐ γὰρ Διόνυσος θεὸς ἦν, ὅτι εἶπεν αὐτῷ, κάλει θεόν. τοῦτο δὲ ὡς ἐν κωμῳδίᾳ πέπλασται. [Ἄλλως. εἰώθασιν οἱ μεγάλοις κακοῖς περιπίπτοντες θεὸν ἐπικαλεῖσθαι πρὸς ἀρωγὴν θυσίας τινὸς ὑποσχέσει. δείκνυσι δὲ ἐντεῦθεν ὡς ὁ Διόνυσος οὐκ ἔστι θεὸς, ὡς ἐν κωμῳδίᾳ παίζων. τὸ δὲ ἐγκέχοδα ἀπὸ τοῦ χέζω μέσος παρακείμενος.] ἀλλ' ὡρακιῶ: Ἀντὶ τοῦ ὠχριῶ, φροντίζω.

sch ran 481 ὥρα γὰρ ἡ φροντίς. ἐκ δὲ φροντίδος ἐκλύεταί τις. (ὡρακιᾶσαι δὲ λέγεται τὸ ὑπὸ φόβου ὠχριᾶσαι· [ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ. τὸ ὠχριᾶσαι] θλιβομένης τῆς καρδίας. τοῦτο δὲ πολλοῖς γίνεται.) ποὖστιν: Ὁ Διόνυσος φοβούμενος λέγει, ποῦ ἐστιν ἡ καρδία μου; —ποῦ 'στιν ἡ καρδία σου; ὦ χρυσοῖ θεοὶ, ἐνταῦθ' ἔχεις τὴν καρδίαν, ἔνθα μου τὴν χεῖρα προσήγαγες; C.

sch ran 484 ἐνταῦθ' ἔχεις τὴν καρδίαν: ⟦ Ἔνθα μου τὴν χεῖρα προσήγαγες· ἤγουν περὶ τὸν πρωκτόν. ⟧ λαμβάνει ὁ Διόνυσος τὴν χεῖρα τοῦ Ξανθίου, καὶ προστίθησιν εἰς τὸν πρωκτόν. ὁ δὲ τίθησι τὸν σπόγγον εἰς τὸ αἰδοῖον αὐτοῦ γέλωτος χάριν. πῶς δειλὸς: (Δειλός εἰμι ἐγὼ, ὅτι ᾔτησά σε σπογγίαν;) τοῦτο δὲ ὡς θαυμάζων ἑαυτὸν ὁ Διόνυσος λέγει, ὅτι οὐκ ἂν ἄλλος ᾔτησέ σε, ὦ Ξανθία, σπόγγον, ἀλλ' ἐσιώπησεν ἄν.

sch ran 487 (τοῦ γὰρ δειλοῦ τὸ οἰκεῖον σιωπᾶν, οὐ τὸ λαλεῖν.) ⟦ τὸ δὲ ἐγώ ἢ μόνον κατ' ἐρώτησιν, ἢ καθ' ὁμαλισμὸν μέχρι τοῦ δειλός. ⟧ (ὀσφραινόμενος: Οἱ τῷ φόβῳ ἐκλυόμενοι ὀσφρήσει τὸν πόνον παύουσιν.

sch ran 489 ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.) ἀπεψησάμην: [Κατεμαξάμην.

sch ran 490 ] (ἀποψᾶν λέγουσι τὸ ἐκμάσσειν. καὶ ἐν Πλούτῳ [818] «ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι.») —ψῶ σημαίνει πέντε. τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιλὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνόν. τὸ ψαύω καὶ προσεγγίζω, ἐξ οὗ καὶ ψώρα καὶ τὸ ἀπεψησάμην. τὸ τέμνω, ἐξ οὗ καὶ ψωμὸς ὁ εἰς μικρὰ τεμνόμενος. τὸ συντρίβω, ἐξ οὗ καὶ ψώχοντες τοὺς στάχυας ἀντὶ τοῦ ταῖς χερσὶ συντρίβοντες. καὶ ψῶ τὸ καίω, ἐξ οὗ καὶ ψωλὸς δαλὸς ὁ κεκαυμένος καὶ ψωλόεις εἶδος κεραυνοῦ. Θ. ἴθι νῦν: Τὸ ἴθι ἀντὶ τοῦ ἄγε.

sch ran 494 (συνομωνυμεῖ γὰρ τὸ δεῦρο, ὃ σημαίνει καὶ τὸ ἄγε.) λῃματιᾷς: Λῆμά ἐστι τὸ φρόνημα. λῃματιᾷς οὖν, μέγα φρονεῖς. (γράφεται καὶ λῃματίας, χωρὶς τοῦ ι· οἷον μεγαλόφρων καὶ ἰσχυρός.) ⟦ ἀφοβόσπλαγχνος: Ἄφοβος.

sch ran 496 ἐπειδήπερ ὁ φόβος, ὥς φασιν, ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις, περὶ ἣν ὁ φόβος γίνεται. ⟧ (ἀνὰ μέρος) ἐν ἴσῃ μερίδι.

sch ran 497 R. V. φέρε δὴ ταχέως: Οὐδαμῶς, φησὶν, ὀφείλεις λέγειν, ἀλλὰ καὶ διδόναι, ἵνα σοι πιστεύσω, ὅτι ἀληθῶς ἐπαγγέλλῃ μοι αὐτὰ διδόναι.

sch ran 499 εἰς τὸν Ἡρακλειοξανθίαν: Αὐτὸς Ξανθίας ἐκαλεῖτο. παραπλήσια δὲ ὅπλα τοῖς Ἡρακλέους εἶχε. συμμιγνὺς οὖν τὰ δύο [ὁμοῦ] εἶπεν Ἡρακλειοξανθίαν. οὐκ Μελίτης μαστιγίας: Ἀντὶ τοῦ, ὁ ἐκ Μελίτης Ἡρακλῆς.

sch ran 501 ἐν γὰρ Μελίτῃ δήμῳ τῆς Ἀττικῆς ἐμυήθη Ἡρακλῆς τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ ἱερὸν Ἡρακλέους. ἐκλήθη δὲ ἀπὸ Μελίτης νύμφης, (ᾗ ἐμίγη ὁ Ἡρακλῆς). μαστιγίαν δὲ ὡς πρὸς δοῦλον. (παρὰ δὲ τὴν ὑπόνοιαν σκώπτει, ἐπειδὴ ἐν Μελίτῃ ἐστὶν ἐπιφανέστατον ἱερὸν Ἡρακλέους ἀλεξικάκου, ὁ δὲ Ξανθίας ἀντιμετείληφε τὴν τοῦ Ἡρακλέους σκευήν. τὸ δὲ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρακλέους ἄγαλμα ἔργον Γελάδου τοῦ Ἀργείου, τοῦ διδασκάλου Φειδίου. ἡ δὲ ἵδρυσις ἐγένετο κατὰ τὸν μέγαν λοιμόν· ὅθεν καὶ ἐπαύσατο ἡ νόσος, πολλῶν ἀνθρώπων ἀπολλυμένων. Ἀπολλώνιος δὲ οὐ κακῶς ὑπονενοῆσθαί φησι τὸ κωμῳδεῖσθαί τινα. ἴσως δὲ ὅτι ἦρχε, διὰ τοῦτο οὐκ ὠνομάσθη. ἢ ὀλίγον πρότερον [429] εἰρῆσθαι. Καλλίας γὰρ ὁ Ἱππονίκου ἐν Μελίτῃ ᾤκει. παρεικάζει δὲ αὐτὸν ἅμα τῷ Ἡρακλεῖ, ἅμα χλευάζων διὰ τὸ λεοντῇ ἐν ταῖς μάχαις χρῆσθαι, ὡς ἐν τοῖς ὀπίσω κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον. ἐπεὶ εἴ γε ὄντως ἐπὶ τὸν Ἡρακλέα ἀνέφερε, τί μᾶλλον εἶπε τὸ ἐκ Μελίτης, καὶ μὴ ἐξ ἄλλου δήμου; πανταχοῦ γὰρ Ἡράκλεια ἐπιφανῆ. σύνηθές τε οὐχ οὕτω λέγειν ἐπὶ θεῶν, οὐκ Μελίτης, ἀλλ' ὁ ἐν Μελίτῃ, ὡς καὶ Ζεὺς ὁ ἐν Ὀλυμπίᾳ· ἐπὶ δὲ ἀνθρώπων, ἐκ Μελίτης, ἐξ Οἴου, ἐκ Κοθωκιδῶν. πῶς δὲ καὶ παλαιότερον εἶναι Ἀριστοφάνους τὸ ἄγαλμα, εἰ ἀκμάζοντος τοῦ λοιμοῦ ἱδρύθη; σχεδὸν γὰρ μειρακίσκος ἤδη ἥπτετο τῶν ἀγώνων.) θεράπαινα Περσεφόνης (Ἅιδου R.

sch ran 503 ) λέγει ταῦτα πρὸς τὸν Ξανθίαν ἔχοντα τὴν λεοντῆν. R. V. Θ. θεράπων, ὥς δέ τινες φασὶν, δούλη (οἱ δέ φασιν δούλην G.) Περσεφόνης. V. ἡ Κόρη δηλονότι.

sch ran 504 R. κατερικτῶν χύτρας: Τῶν κατακεκομμένων ὀσπρίων, ἢ τῶν κυάμων τῶν σχιζομένων.

sch ran 505 (λέγει δὲ τὰ σχιζόμενα ὄσπρια, τοὺς κυάμους), ⟦ τὰ ἐρεικόμενα. καὶ τὴν ἐρίγμην δὲ ἐντεῦθεν ἐτυμολογοῦσί τινες. ⟧ ἔτνος ἐστὶν ἀθάρα μετὰ γάλακτος.

sch ran 506 R. ⟦ ἔτνους: Ὃ νῦν φάβα οἱ ἰδιῶται καὶ οἱ ἄγροικοι, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως καὶ τῆς τορύνης. τορύνη δὲ, ὁ χυτρόπους. Ἄλλως. πρῶτον εἰπὼν καθολικῶς κατερικτῶν, ἤτοι κατεσχισμένων ὀσπρίων, ἐπειδὴ οὐδὲν ἄλλο τῶν ὀσπρίων σχίζομεν ἀλλ' ἢ τοὺς κυάμους, ὅταν ἔτνος ποιῆσαι θέλωμεν, ἐπήγαγε τὸ ἔτνους. ἔχαιρε γὰρ τούτῳ πάνυ ὁ Ἡρακλῆς. ἢ τὸ ἔτνους ἑρμηνεία τοῦ κατερικτῶν. ⟧ κολλάβους: Λέγει τοὺς ἄρτους, τοὺς ἐοικότας τὴν πλάσιν τοῖς κολλάβοις τῆς κιθάρας.

sch ran 507 οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου, ἢ ἄρτου μικροῦ, παρὰ τὸ ἐκ μεγάλων κολλυβίζεσθαι. ⟦ Ἄλλως. ἄρτοι νέοι ἐκ πυρῶν. καὶ οἱ λάσταυροι ὑπὸ Σικυωνίων λέγονται. καὶ ἡ νευρὰ τοῦ ὀργάνου. ⟧ —τὰ γὰρ ὀπτὰ καλὰ τὰ ἐξ ἀνθράκων ὀπτώμενα. V. Θ. τοὺς λεγομένους κόλλικας. φασὶ δὲ κολλάβους καὶ τὰ τῆς μουσικῆς ἰδιωτικῶς λεγόμενα καβάλια. Θ. ἐπαινῶ: Οὐ βούλομαι εἰσελθεῖν.

sch ran 508 Vict. ἔφρυγε: Ἐτηγάνιζε.

sch ran 511 Vict. (κῷνον) ἀντὶ τοῦ καὶ οἶνον. R. πάνυ καλῶς: (Παραιτούμενοι οἱ παλαιοὶ ἔλεγον, κάλλιστ' ἐπαινῶ, καὶ, ἐπῄνουν.

sch ran 512 νῦν οὖν παραιτούμενος εἰσιέναι φησὶν ὁ θεράπων,) ἀντὶ τοῦ ἔασον. ληρεῖς ἔχων: Τοῦτο λέγει κρατῶν αὐτὸν ὁ Διόνυσος, καὶ μὴ συγχωρῶν αὐτὸν εἰσελθεῖν ἅμα τῇ θεραπαίνῃ τῆς Περσεφόνης. περιττὸν δὲ τὸ ἔχων. ⟦ καὶ γὰρ αὐλητρὶς: Αὕτη ἡ κατασκευὴ πρὸς τὸ, ἀλλ' εἴσιθ' ἅμ' ἐμοί.

sch ran 513 ⟧ τὸ τέλειον ἤδε.

sch ran 514 V. εἰσάγεται καταφερὴς Διόνυσος.

sch ran 515 V. ἡβυλλιῶσαι: (Ἡβῶσαι καὶ αἰσχρῶς τίλλουσαι τὸ αἰδοῖον.

sch ran 516 ἢ) ἀντὶ τοῦ ἀκμάζουσαι τὴν ἡλικίαν. ⟦ ἄρτι παρατετιλμέναι: Ἐκ τούτου δείκνυται ὅτι παρέτιλλον, καὶ οἱονεὶ ἐξέδερον ἢ ἔτυπτον τὸ γυναικεῖον αἰδοῖον. οὕτως γὰρ πάλαι ἐψίλουν. καὶ δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ [fr. 336] αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται.» τίλλουσι δὲ τὰς τρίχας αἱ νεόνυμφοι. ἢ ἐσπασμέναι τὰς ἐπανθούσας τῷ προσώπῳ τρίχας, καὶ τὰς τῶν ὀφρύων. κρεῖττον γάρ ἐστι τοῦτο τοῦ ξυρεῖν. ⟧ —παρατετιλμέναι:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λείπει τὰς τρίχας. R. αἱ γὰρ μελλόνυμφοι τίλλουσι τὰς τρίχας. R. V. Θ. ⟦ τεμάχη: Τὰ κόμματα τῶν ἰχθύων.

sch ran 517 ⟧ [ἀφαιρεῖν: Ἀντὶ τοῦ κόπτειν, ἢ διαιρεῖν ἐκ τῶν ὀβελίσκων, ἢ κλέπτειν.

sch ran 518 ἐσῄρετο: Νῦν ἀντὶ τοῦ εἰσεφέρετο.] αὐτὸς: Ἀντὶ τοῦ ὁ δεσπότης.

sch ran 521 τῷ Διονύσῳ φησί. R. ὁ Ξανθίας πρὸς τὸν Διόνυσον. μετεστόλισται γὰρ ὁ Διόνυσος εὐλαβηθεὶς καὶ περιβέβληται τὴν τοῦ Ξανθίου στολήν. V. ἐπίσχες: Κρατεῖ τὸν Ξανθίαν ὁ Διόνυσος.

sch ran 522 ⟦ τὸ δὲ οὔτι που, ἢ ἀντὶ τοῦ ἆρα· ἢ πρὸς τὸ οὔτι που στικτέον. τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν λέγε. οὔτι που, ἤγουν οὐδαμῶς σπουδὴν ποιεῖς· ἤγουν ἀληθὲς τοῦτο ἐνόμισας, ὅτι σε παίζων Ἡρακλέα ἐσκεύασα; ⟧ ἆρα, φησὶ, νομίζεις σεαυτὸν Ἡρακλέα εἶναι, ἐπεὶ ἐποίησα παίζων (σχῆμά σε παραπλήσιον ἔχειν τοῦ Ἡρακλέους, διὰ τὴν λεοντῆν καὶ τὸ ῥόπαλον;) οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ: Ἀντὶ τοῦ ὄντως διανοῇ, ὥστε ἀφελέσθαι με τὰ ὅπλα.

sch ran 526 ἡ γὰρ οὐ ἄρνησις συγκατάθεσιν δηλοῖ. οὐ τάχ' ἀλλ' ἤδη ποῶ: Οὐδ' ὅλως, φησὶ, διανοοῦμαι.

sch ran 527 ἀλλ' ἤδη αὐτὰ ἀφαιροῦμαι· οἷον, οὐ διστάζω. —ἐπεὶ εἶπε σπουδάσεις, λέγει οὐ σπουδάσω λόγοις ἀλλ' ἔργῳ. V. τὴν λεοντῆν.

sch ran 528 V. ἀνατίθημι.

sch ran 529 R. V. τὸ προσδοκῆσαι σεαυτὸν Ἡρακλέα εἶναι.

sch ran 530 V. ταῦτα μὲν πρὸς ἀνδρός ἐστιν: ⟦ Εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα, (ἔχει γὰρ καὶ ἀντίστροφον, τὸ, νῦν σὸν ἔργον ἐστίν) ἐκ κώλων τροχαϊκῶν ι', ὧν τὰ γ', ϛ', θ', δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ Εὐριπίδεια, τὰ δὲ λοιπὰ ἀκατάληκτα· πλὴν τοῦ τελευταίου τετραμέτρου ὄντος καταληκτικοῦ.

sch ran 534 ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ἀναλόγως τῇ στροφῇ τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων. ἐπὶ τῷ τέλει ἑκατέρου παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ διὰ τὴν ἀνταπόδοσιν. ⟧ ταῦτα λέγει ὁ χορὸς διὰ τὸν Διόνυσον· ἐπειδὴ οὗτος, ὅτε ἐφοβήθη διὰ τὰς τοῦ διακόνου ἀπειλὰς, τὸν Ξανθίαν ἐποίησεν ὡς δεσπότην, ἑαυτὸν δὲ δοῦλον. ὅτε δὲ ὁ θεράπων τοῦ Ἅιδου ἀπήγγειλε τῷ Ξανθίᾳ, ὅτι ἡ κόρη (δεῖπνον καὶ) ὄψα ἐποίησε, δεσπότην πάλιν ἑαυτὸν ποιεῖ, τὸν δὲ Ξανθίαν δοῦλον. ἀποδέχεται δὲ τὸν Διόνυσον ὁ χορὸς ὡς μὴ μένοντα ἐπὶ τοῖς αὐτοῖς. ἀντὶ τοῦ εἰς πάντα τετριμμένος.

sch ran 535 R. (μετακυλίνδειν: Ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου οὐ γάρ ποτ' εἴων Σθένελον ἐς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν.

sch ran 536 ) ⟦ παροιμία δέ ἐστι, πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν, ἐπὶ τῶν περὶ τὸ λυσιτελοῦν αὑτοῖς ἀεὶ στρεφομένων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ἐπιβατῶν τῆς νεὼς, ὅταν θατέρου μέρους αὑτοῖς κατακλυζομένου, πρὸς τὸ ἕτερον οὗτοι μεθίστανται. ⟧ —τὴν μεταφορὰν εἶπεν ὡς ἐπὶ τοῦ ἐπιβάτου· ὅταν γὰρ ταραχθῇ ἡ θάλασσα καὶ κινδυνεύῃ τὸ πλοῖον, ὁ ἐπιβάτης σωφρονῶν τὸν μὲν ἕτερον τοῖχον ἐᾷ, εἰς δὲ τὸν ἕτερον μετακυλίνδει ἑαυτόν. V. τὸ καλῶς πρᾶττον μέρος.

sch ran 537 R. ἢ γεγραμμένην: Ἀντὶ τοῦ, μηδὲν ἀνύοντα· ὅτι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι.

sch ran 539 μεταστρέφειν: Μεταστρέφεσθαι. C. τὸ ἡδύτερον καὶ εὖ ἔχον. V. Θηραμένης: Οὗτος τῶν τὰ πολιτικὰ πραττόντων.

sch ran 541 σκώπτει δὲ αὐτὸν ὡς εὐμετάβολον ὄντα καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. οὗτος δὲ γέγονεν ὁ Θηραμένης διδάσκαλος Ἰσοκράτους, (στρατηγὸς δὲ καὶ ὑποκριτὴς εὐμετάβλητος, Ἅγνωνος παῖς, Στειριεὺς τῶν δήμων. τούτῳ πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιστα καὶ σχετλιώτατα, ἥ τε τῶν ἐν Ἀργεννούσῃ στρατηγῶν ἀπαγωγὴ, ἣν αὐτὸς συνεστήσατο μετὰ Καλλιξένου, καὶ ἡ τῶν λ' ἐπὶ καταλύσει τοῦ δήμου κατάστασις. τοιγάρτοι τῆς τοῦ βίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προαιρέσεως ἐπαξίας τῆς τελευτῆς ἔτυχεν· ὑπὸ γὰρ αὐτῶν τῶν λ′ ἀνῃρέθη, Κριτίου κρίναντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα αὐτὸν ἐπὶ τὴν ἑστίαν ἀποσπασθῆναι. τοῦτον διὰ τὴν ποικιλίαν τοῦ ἤθους Κόθορνον ἐκάλουν, ἐπειδὴ ἑκατέρᾳ στάσει τῇ τῶν πολιτευομένων ἑαυτὸν παρετίθει, καθομιλῶν τοῖς καιροῖς καὶ τὸ συμφέρον ἑαυτοῦ τοῦ πιστοῦ προτάσσων, ἐπειδὴ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποδέσεις ἁρμόττει. δοκεῖ δὲ οὗτος καὶ τὰ τρία ψηφίσασθαι ἐπιζήμια, ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ, ἢ πιεῖν κώνειον, ἢ ἐκφυγεῖν. δοκεῖ δὲ ἀπὸ Κέω τῆς νήσου εἶναι, οὐκ εἶναι δὲ γνήσιος, ἀλλὰ ποιητὸς υἱὸς τοῦ Ἅγνωνος. ὁ Θουκυδίδης δὲ [8, 68] αὐτὸν ἐπαινεῖ.) ⟦ Ἄλλως. ὁ Θηραμένης οὗτος ἀνὴρ πανοῦργος ἦν, καὶ πρὸς τοὺς καιροὺς μεταβαλλόμενος. Χῖοι γὰρ καὶ Κῖοι πόλεμον εἶχον πρὸς ἀλλήλους. ὅτε οὖν παρὰ Χίοις ἦν, Χῖον ἑαυτὸν ἐκάλει· ὅτε δὲ παρὰ Κίοις, Κῖον· τῇ δὲ ἀληθείᾳ Χῖος ἦν. ⟧ ἐν στρώμασι Μιλησίοις: Ἐκεῖ γὰρ ἐν Μιλήτῳ καλὴ ἡ τῶν στρωμάτων ἐργασία.

sch ran 542 (καὶ τὰ Μιλήσια στρώματα ποικίλα καὶ ἁπαλὰ γίνεται καὶ διάφορα.) ⟦ εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται, καὶ εἰς τὸ στολῆς πολυτελές· ἐσθῆτές τ' ἐνταῦθα κατεσκευάζοντο ποικίλαι καὶ τάπητες· ὡς καὶ Θεόκριτος [15, 125] πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνου, ἁ Μίλατος ἐρεῖ χὠ τὰν Σαμίαν καταβόσκων. ⟧ ἀμίδα δέ, τὴν οὐρητρίδα, τὸ οὐρηρὸν ἀγγεῖον. ἀνατετραμμένος: Ἀνακείμενος καὶ φιλῶν ὀρχηστρίδα.

sch ran 543 R. V. ἄνω χάσκων. V. ἀνακεκλιμένος καὶ ἐξηπλωμένος. κινῶν: Συνουσιάζων. Ε. ἐγὼ δὲ πρὸς τοῦτον: Ὁρῶν γὰρ ὁ Διόνυσος συνιόντα τῇ ὀρχηστρίδι τὸν Ξανθίαν, καὶ ὥσπερ ἐρεθιζόμενος τοῦ αἰδοίου ἐδραττόμην (φησὶν) ἀντὶ τοῦ ἐμαυτοῦ, ὁ δὲ Ξανθίας γνοὺς ἅτε καὶ αὐτὸς πρότερος τὰ αὐτὰ ποιῶν ἐπάταξεν ἄν με.

sch ran 545 τοῦ 'ρεβίνθου: Τοῦ αἰδοίου. τὸ δὲ ὅλον, ὡς ταῦτα τοῦ Ξανθίου ποιοῦντος, ἐπειδὰν διακονῇ τῷ Διονύσῳ, καὶ διὰ τοῦτο ἐπιγνόντος ἂν αὐτὰ, εἰ ἀνὰ μέρος ἐποίει ὁ Διόνυσος. —ἢ κυρίως ἐρεβίνθου· εἰώθασι γὰρ οἱ δοῦλοι ἐν τοῖς τῶν δεσποτῶν πότοις εἰς παραμυθίαν ἑαυτῶν τοιαῦτα περιφέρειν. V. τοὺς χοροὺς τοὺς προσθίους: Ἀντὶ τοῦ εἰπεῖν ὀδόντας, εἶπεν χορούς.

sch ran 548 Διόνυσος γάρ ἐστιν ὁ τῶν χορῶν προστάτης. τὸ δὲ ὅλον παρὰ τὴν ὑπόνοιαν. Πλαθάνη, Πλαθάνη: ⟦ Κορωνὶς ὁμοία εἰσιόντων τῶν ὑποκριτῶν.

sch ran 549 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μα′, ὧν τελευταῖος δέχομαι τὸν ὅρκον κἀπὶ τούτοις λαμβάνω. ⟧ πανδοκεύτρια πρὸς Πλαθάνην θεράπαιναν ἑαυτῆς λέγει. εἰσάγει δὲ τὸν Ἡρακλέα νῦν βεβρωκότα τι. (554) ἀνημιωβολιμαῖα δὲ, ἀντὶ τοῦ, ἕκαστον αὐτῶν ἥμισυ ὀβολοῦ ἦν, ἄξιον ἡμιωβολίου. (ἢ ὠμὰ ὄντα κατὰ τὸ ἥμισυ. Ἄλλως. ὅτι ἰδίως ἐπὶ τοῦ ἀνημιωβολίου πωλούμενα. ἀπὸ δὲ συντάξεως ὀνόματα γίνεται καλὸς καὶ ἀγαθὸς, καλοκαγαθία· θεοῖς ἐχθρὸς, θεοεχθρία· οὕτως ἀν' ἡμιωβόλιον, ἀνημιωβολιαῖον. δηλοῖ δὲ ἡμιωβόλου ἄξια. ἐπισημειοῦσθαι δὲ τὴν λέξιν ἔδει τῷ χ. ἀνάβραστα δὲ,) ζεστὰ, ἡψημένα. —ζεστὰ, παρὰ τὸ βράσσειν. V. ἀνημιωβολιαῖα: Ἄξιον ἡμίσεος ὀβολοῦ ἓν ἕκαστον. C. παλαιόν: Ὅτι ὥσπερ ἀπὸ τοῦ καλὸς καὶ ἀγαθὸς σύνθετον ὄνομα γίνεται καλοκαγαθία, καὶ ἀπὸ τοῦ θεὸς καὶ τοῦ ἐχθρὸς θεοεχθρία, οὕτω καὶ ἀπὸ τοῦ ἥμισυ καὶ τοῦ ὀβολὸς, ἡμιωβολιαῖον, τὸ ἡμιοβόλου ἄξιον. διὸ καὶ ἐπισημειοῦσθαι τὴν λέξιν τῷ χ. Cant.2. ὅτε ἦλθεν ἐπὶ τὸν Κέρβερον.

sch ran 550 V. ἡ ἑτέρα πανδοκεύτρια.

sch ran 551 R. τῷ Διονύσῳ δηλονότι.

sch ran 552 R. V. ἀντὶ τοῦ ὁ Διόνυσος.

sch ran 554 ὁ Ξανθίας δὲ ἠρέμα λαλεῖ. V. [ληρεῖς ὦ γύναι: Οὐ δείκνυται Ἡρακλῆς σκορόδων γευσάμενος.

sch ran 555 διὸ πρὸς ταύτην φησὶ, ληρεῖς, ὦ γύναι.] ⟦ οὔμενούν με προσεδόκας: Οὐ προσεδόκας με γνῶναί σε, ἐπειδὴ κόθορνος τοῦ Διονύσου ἐστὶν, οὐ τοῦ Ἡρακλέους.

sch ran 556

Eulogikon public reading copy · View original HTML at eulogikon.org

]] —κοθόρνους τὰ ὑποδήματα. R. V. τὸ τάριχος: Οὕτως ἔλεγον οἱ Ἀττικοὶ, οὐδετέρως.

sch ran 558 ἐπελαθόμην δὲ, φησὶν, εἰπεῖν τὸ τάριχος. νέον, ἁπαλόν.

sch ran 559 V. αὐτοῖς τοῖς ταλάροις: Ἔτι ὄντα, φησὶν, ἐν τοῖς μικροῖς καλαθίσκοις.

sch ran 560 —ταλάροις: Τυροβόλοις. Borg. τοῖς μικροῖς καλαθίοις, ὅπου ὁ τυρός ἐστι. R. αὐτοῖς: Σύν. ταλάροις: Καλαθίσκοις. λέγει δὲ τὰ λεγόμενα ἰδιωτικῶς τυροβόλια. C. ἀπῄτουν.

sch ran 561 V. Θ. κἀμυκᾶτο (κἀπεμυκᾶτο E.

sch ran 562 ): Ἐπεβριμήσατο. D. E. πικρὸν ἐβρυχᾶτο, ἐμήνιεν. R. V. Θ. M. οὗτος ὁ τρόπος πανταχοῦ: Τὸ τρώγειν καὶ μὴ διδόναι, φησὶ, τὸν μισθόν.

sch ran 563 τοῦτο δὲ ὁ Ξανθίας, ἐπαίρων κατὰ τοῦ Διονύσου τὰς γυναῖκας. (μαίνεσθαι δοκῶν: Καὶ παρ’ Εὐριπίδῃ μαινόμενος Ἡρακλῆς καὶ σπῶν τὸ ξίφος.

sch ran 564 πρὸς τοῦτο οὖν παίζει.) ἀντὶ τοῦ δείσασαι δυϊκῶς.

sch ran 565 R. V. κατήλιφα: Τὴν μεσόδομον, (ἢ τὴν κλίμακα).

sch ran 566 —κλίμακα. Br. σανίδα, ἐν ᾗ πάντα τὰ πωλούμενα τιθέασιν, εἰς ἣν ἀναβαίνοντες οἱ κατοικίδιοι ὄρνις ἐκεῖ κοιμῶνται. νομίζουσι δὲ Ἡρακλέα τὸν Διόνυσον εἶναι ὡς ἡρπακότα τὰ χρειώδη καθ’ Ἅιδου, ὅτε κατῆλθεν ἐπὶ τὸν Κέρβερον. V. τὰς ψιάθους: Οἷον καὶ τὰ στρώματα τοῦ πανδοκείου.

sch ran 567 ἐν δὲ τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους, καὶ ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. —ὅτι ὧδε ἀρσενικῶς, ὧδε δὲ θηλυκῶς, διὸ τὸ χ. V. Θ. (τὸ δὲ, ἀλλ’ ἐχρῆν τι δρᾶν, δύναται καὶ ἡ γυνὴ λέγειν, ἀντὶ τοῦ τιμωρήσασθαι.) —ἐχρῆν ὑμᾶς τι δρᾶν περὶ αὐτόν. Br. τὸν προστάτην Κλέωνα: Ἦν γὰρ ἀποθανὼν τότε.

sch ran 569 τὰ δὲ δράματα καθ’ ᾅδου νῦν. Κλέωνα δὲ τὸν βυρσοδέψην, εἰς ὃν γέγραφε τοὺς Ἱππέας. Ὑπέρβολον δὲ, εἰς ὃν καὶ Εὔπολις ἔγραψε τὸν Μαρικᾶν. ἀπώλετο δὲ περὶ τὴν Σάμον, πολεμούντων αὐτῷ τῶν Σαμίων. ἐάνπερ ἐπιτύχης: Ὡς καὶ τοῦ Ὑπερβόλου τεθνηκότος.

sch ran 570 παρατηρητέον δὲ ὅτι τέσσαρες ἐπὶ σκηνῆς διαλέγονται. ⟦ φορτία: Ψωμοὺς, κρέα, τυροὺς, καὶ τἄλλα.

sch ran 573 τινὲς δὲ ἤκουσαν τὰ κόπρια φορτικῶς. ]] τινές φασι τὸν Διόνυσον λέγειν τοῦτον τὸν στίχον.

sch ran 574 R. ὄρυγμα ἐν Ἀθήναις, εἰς ὃ ἐβάλλοντο οἱ κακοῦργοι. V. κόλικας: Ἢ ἄρτους, ἢ ἔντερα.

sch ran 576 τὸ δὲ ᾧ, οὐ πρὸς τὸ δρέπανον, ἀλλὰ πρὸς τὸν λάρυγγα. κατέσπασας δὲ ἀντὶ τοῦ κατεβρόχθισας. ἐκπηνιεῖται: Ἃ ἔφαγεν ἡμῶν, ἀφελκύσει.

sch ran 578 ἀπὸ τῶν τὴν κρόκα μηρυομένων εἰς πηνία. (Ἄλλως. ἐξελκύσει ἀπὸ τοῦ πηνίου. Ὅμηρος [Il. Ψ, 762] «πηνίον ἐξέλκουσα.») ⟦ ἢ ἐξάξει. ἀπὸ μεταφορᾶς τῆς κατὰ μικρὸν ἐκ τοῦ σκώληκος ἐξαγομένης πήνης. εἰ δὲ διὰ τῆς οι διφθόγγου γράφεται, μετὰ τιμωρίας ἀπαιτήσει. ]] τὸ ἐκποινιεῖται ἢ διὰ τοῦ ο καὶ ι γράφεται, ἀντὶ τοῦ μετὰ τιμωρίας ἀπαιτήσει. ἢ διὰ τοῦ η, ἵν’ ᾖ ἀντὶ τοῦ ἐξάξει. ἐπειδὴ καὶ τὴν μέταξαν καταρχὰς ἐκ τοῦ σκώληκος ἐξάγομεν κατὰ μικρόν. πήνη δὲ ἡ μέταξα. C. E. ἐξελκύσει. D. ἐκποινιεῖται: Μετὰ τιμωρίας λάβοι. E. προσκαλούμενος: Ἀντὶ τοῦ ἐγκαλῶν, εἰς δικαστήριον ἕλκων, (κατηγορῶν αὐτοῦ). (κάκιστ’ ἀπολοίμην: Ἐνταῦθα φοβούμενος ὁ Διόνυσος ὑποκρίνεται φιλίαν πρὸς Ξανθίαν, ἵνα πάλιν Ἡρακλῆς γένηται, καὶ αὐτὸς Ξανθίας κελευόμενος ὑπὸ Διονύσου.

sch ran 579 ) ⟦ καὶ πῶς ἂν Ἀλκμήνης: Ἅπερ πρὸς αὐτὸν ὁ Διόνυσος πρότερον ἔλεγε, ταῦτα λέγει καὶ αὐτὸς εἰρωνευόμενος καὶ παίζων.

sch ran 582 ]] γλάμων: (Ὁ ἔχων λήμας, ὁ ἀκάθαρτος), ⟦ παρόσον ἐρώμενος, φασὶν, ἦν Διονύσου.

sch ran 588

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟧ Καλλίστρατός φησιν ὅτι οὕτως ἐκαλεῖτο Γλάμων, ὡς Χάρων. ἄλλοι δὲ, τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων «τοὺς γλαμυροὺς «κατὰ φορβάν.» κἀπὶ τούτοις λαμβάνω, ἐπὶ τῷ μὴ ἀφαιρεῖσθαί με τὸ Ἡρακλέους σχῆμα.

sch ran 589 V. νῦν σὸν ἔργον: ⟦ Εἴσθεσις μελῶν χοροῦ περιοδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προρρηθείσῃ, καὶ τὸ σύστημα τοῖς αὐτοῖς τῶν ἐν τῇ στροφῇ κατά τε ποσότητα καὶ ποιότητα κώλοις συγκείμενον ἔχουσα.

sch ran 590 ἧς ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλοσ ⟧ —ὁ χορὸς πρὸς τὸν Ξανθίαν. R. V. (τὸ δὲ ἑξῆς·) νῦν σὸν ἔργον ἐστὶν ἀνανεάζειν. ἀντὶ τοῦ Ἡρακλέους.

sch ran 593 R. V. μωραίνων ληφθήσῃ. V. παραληρῶν: ⟦ Ἀγενές τι ποιῶν, καὶ οὐ τῆς Ἡρακλέους σκευῆς ἄξιον.

sch ran 594 ⟧ —οὐδὲν πλέον τοῦ ληρῶν. R. V. ἀντὶ τοῦ μαλακισθείς.

sch ran 595 R. V. ἀντὶ τοῦ ἂν εἴπῃς τι. V. ὀρίγανον: ⟦ Ἀντὶ τοῦ δριμύ.

sch ran 603 τοιοῦτον γὰρ τὸ φυτόν. ⟧ —πρὸς τὸ ἄνω. δεῖν δὲ ἔοικε δριμὺ βλέπειν. R. V. ἀντὶ τοῦ φοβεῖσθαι.

sch ran 604 R. V. ξυνδεῖτε ταχέως: ⟦ Κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν.

sch ran 605 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε′· ὧν τελευταῖος πρότερον ποιῆσαι πρίν με τὰς πληγὰς λαβεῖν. ὁ ξ′ μέντοι ἰαμβικὸς ἑφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον. μεθ’ ὃ μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, καὶ Ἰωνικὸν ἀπ’ ἐλάσσονος ἡμιόλιον. ἐπὶ τῷ τέλει πάντων κορωνίς. ⟧ τὸν κλέψαντα τὸν κύνα τὸν Κέρβερον. ἥκει τῳ κακόν: Ὁ Διόνυσος τοῦτο λέγει, ὅπερ καὶ ὁ Ξανθίας περὶ αὐτοῦ ἀνωτέρω.

sch ran 606* ἀμέλει δώσει δίκην. (ἡσυχῇ δὲ ταῦτα λέγει.) μὴ πρόσιτον: (Οὐκ εὖ οὐδὲ κυρίως τὸ πρόσιτον προκαλεῖται.

sch ran 607 δύναται δὲ ἄλλοις μὲν λέγειν τὸ πρόσιτον ἑπομένοις αὐτῷ, ἄλλους δὲ ἔτι καλεῖν.) ὧν καὶ τὰ ὀνόματα εἴρηκεν ὡς δούλων, ἢ τοξοτῶν βαρβάρων. τινὲς δέ φασιν, ἐκ τοῦ, εἶεν καὶ μάχει, τὸν παρὰ τοῦ Πλούτωνος ἐξελθόντα λέγειν ἕως τοῦ, κλέπτοντα τἀλλότρια. τὸ δὲ μάλλ’ ὑπερφυᾶ, τὸν Διόνυσον λέγειν. εἶτα πάλιν τὸν παρὰ τοῦ Πλούτωνος, σχέτλια μὲν οὖν καὶ δεινά. ἔνιοι δέ φασι πάντα αὐτὸν λέγειν τὸν Πλούτωνα, ἀγανακτοῦντα ἐπὶ τῷ τύπτεσθαι τοὺς ἀκολούθους ὑπὸ Ξανθίου, ἀπὸ τοῦ εἶεν καὶ μάχει, ἕως τοῦ, σχέτλια μὲν οὖν καὶ δεινά. —εἶεν ταῦτα ἃ λέγεις καὶ μάχῃ ἡμῖν. Br. εἶτ’ οὐχὶ δεινὰ: ⟦ Εἶτ’ οὐχὶ δεινὰ, κλέπτοντα τοῦτον τὰ ἀλλότρια πρὸς τούτῳ τύπτειν; ⟧ —δεινὰ ἀντὶ τοῦ μεγάλα.

sch ran 610 R. V. οὐ δεινὸν, φησὶν, ὅτι καὶ τύπτει κλέψας; R. (μάλ’ ὑπερφυᾶ: Τιμαχίδας βραχέως ἀξιοῖ προφέρεσθαι, οὐ πιθανῶς, συναλοιφῆς οὔσης ἐκ τοῦ μή καὶ ἀλλά.

sch ran 611 ὅτι γὰρ τῷ μή πολλαχῇ ἀντὶ τοῦ οὐ χρῶνται, πολλάκις εἴρηται.) ἀντὶ τοῦ τυχόν.

sch ran 614 R. V. σοι: Χάριν σου.

sch ran 615 C. γενναῖον: Ἀντὶ τοῦ εὐγενές. R. V. βασάνιζε γὰρ τὸν παῖδα: Λέγεται βασανίζειν καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασάνου λίθου.

sch ran 616 —τὸν Διόνυσον. V. ἐν κλίμακι δήσας: Τὸ ἐν πρὸς τὸ δήσας, ἀντὶ τοῦ ἐνδήσας κλίμακι.

sch ran 618 ἀντὶ τοῦ, εἰς κλίμακα δήσας, ὡς Ὅμηρος [Il. A, 593] «κάππεσον ἐν Λήμνῳ.» ἀντὶ τοῦ εἰς τὴν Λῆμνον. ὑστριχίδι: Ἐκ δέρματος μετ’ αὐτῶν τῶν τριχῶν μάστιξ.

sch ran 619 R. V. ἐξ ὑείων τριχῶν μάστιγι. Br. ὀπτὰς πλίνθους.

sch ran 621 V. πλὴν πράσῳ μὴ τύπτε τοῦτον: Ἐπεὶ οἱ ἐλεύθεροι πρὸ τούτου πράσοις ἐδέροντο καὶ σκορόδοις. (τὸ δὲ χ πρὸς τὸ ἔθος τοῦ τύπτειν. οἱ δὲ ὅτι διώρισται τὸ πράσον ἀπὸ τοῦ γητείου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινὲς γὰρ οἴονται εἶναι τὸ τοῦ πράσου φύλλον. δύναται μὲν οὖν ἐν ἤθει τὰ ὄντως χαλεπὰ προσθεὶς, ἐπιφέρειν· πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα. δύναται δὲ καὶ ἄντικρυς· βασάνιζε πανταχῶς αὐτὸν, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου τύπτουσιν ἢ τοῦ γητείου.) κἄν τι πηρώσω: Ἐὰν βλάψω μέρος τοῦ σώματος τοῦ παιδίου τύπτων, τὴν τιμὴν λήψῃ.

sch ran 625 μὴ δῆτ' ἔμοιγε: Οἷον ἄνευ τιμῆς, οὐδὲν θέλω ὑπὲρ αὐτοῦ. ⟦ τινὲς δὲ, μὴ δῆτ' ἐμέ γε, τοῦτον δὲ βασάνιζ' ἀπαγαγών. αὐτὸν μὲν οὖν. εἶναι δὲ καὶ ὅλον τοῦ Ξανθίου. ⟧ —μὴ δῆτ' ἔμοιγε πηρώσῃς αὐτὸν, ἀλλ' ἀπαγαγὼν αὐτὸν, οὕτως ὡς ἔφην βασάνιζε. E. ἡ κατά ἀντὶ τῆς ὑπό.

sch ran 626 R. κατάθου: Ἀπειλῶν τῷ Διονύσῳ λέγει τὸ κατάθου.

sch ran 628 μηδὲν ψεῦδος: Ὁ γὰρ τόπος οὐ δέχεται ψεῦδος, ὅπου πᾶσα κρίσις. τὸ δὲ ἀγορεύω ἐν ὀργῇ λέλεκται. ταῦτ' ἀκούεις: Ὁ παρὰ τοῦ Πλούτωνος τοῦτό φησι τῷ Ξανθίᾳ.

sch ran 632 ἀντὶ τοῦ, ὄντως εἶ δοῦλος. οὐ καὶ σὺ τύπτει: Τὸ τύπτει δεύτερον πρόσωπον, Ἀττικῶς.

sch ran 636 —[ὁ Διόνυσος πρὸς τὸν Ξανθίαν] ὅτι Ἡρακλέα σαυτὸν λέγεις. R. V. τινές φασι τοῦ Ξανθίου ὅλον εἶναι. (τινὲς δὲ, τοῦ Διονύσου πρὸς τὸν Ξανθίαν.) ⟦ θεὸς γὰρ ὁ Ἡρακλῆς, ὃν ὁ Ξανθίας ἐμιμεῖτο. ⟧ ἢ προτιμήσαντά τι: Φροντίσαντα τῶν πληγῶν, Ἀττικῶς.

sch ran 638 ἢ ἐπιστραφέντα, τοῦ δακρῦσαι ἢ ἀποιμῶξαι ἕνεκα. —προτιμήσαντα: Φροντίσαντα, ἢ αἴσθησιν λαβόντα. Br. παρακινήσαντα: Κινηθέντα, ἢ σαλευθέντα, (ἐκτραπέντα τοῦ καθεστηκότος ἢ αἰσθανθέντα, παρόσον ὁ αἰσθανόμενος μάστιγος κινεῖται.

sch ran 644* )—ἀποκινήσαντ': Ἐκτραπέντα τοῦ καθεστηκότος. E. ἤδη 'πάταξά ς': Πιθανὸν τὸν Ξανθίαν πρῶτον τύπτεσθαι.

sch ran 645 (οὕτω γὰρ καὶ τὸ «οὐ μὰ Δί' ἀλλ' ἐφρόντισα, ὁπόθ' Ἡράκλεια τἀν Διομείοις.» τινὲς [μὲν ὅτι Ξανθίας]. εἰς αὐτὸν [γὰρ] ἐλεύσεται, ἅτε δὴ Ἡρακλέα τέως ὄντα. τινὲς δὲ, ὅτι Διόνυσος. ἔχει δὲ καὶ τοῦτο λόγον, ὅτι θεράπων νῦν ἐστιν ὁ Διόνυσος καὶ πρῶτος τύπτεται.) προσποιεῖται γοῦν (ὁ ἕτερος) μὴ αἰσθάνεσθαι, λέγων, οὐδ' ἐμοὶ δοκεῖς. πηνίκα: Ὡς μὴ αἰσθανόμενος καὶ αὐτὸς ὁ Διόνυσος λέγει· πότε με ἔτυψας.

sch ran 647 κᾆτα πῶς οὐκ ἔπταρον: Οὐκ ᾐσθόμην. ὁ γὰρ πταρμὸς κεφαλῆς κίνησις καὶ αἴσθησις. ἢ ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται, ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω, φησὶν, ἥψατό μου ἡ πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος. οὔκουν ἀνύσεις: Οὐ σπεύσεις· αὐτὸς ὁ μαστιγούμενος ἐπικελεύων τῷ τύπτοντι.

sch ran 651 τἀν Διομείοις: Δῆμος τῆς Αἰγηίδος φυλῆς, ἀπὸ Διόμου (ἐρωμένου) τοῦ Ἡρακλέους. ἔστι δὲ Ἡράκλειον αὐτόθι. περὶ οὗ καὶ Ῥιανός φησι δηλῶν, ὅτι Δίομος Ἡρακλῆς ἐγένετο. —τοῦτο ὡς ἀλγήσας φησί. R. ἐπὶ τὸν ἕτερον, ἵνα τύψῃ αὐτόν.

sch ran 652 R. ἄνθρωπος ἱερός: Ἀποδέχεται αὐτὸν ὁ τύπτων ὡς δερόμενον καὶ φροντίζοντα τῶν μυστηρίων. ⟦ τυπτόμενος γὰρ θείας τελετῆς μέμνηται. ⟧ τὸ ἰοὺ ἰού ὡς αἰσθόμενος ὁ Διόνυσος λέγει.

sch ran 653 R. ἱππέας ὁρῶ: Ὡς θαυμάζων ἱππέων ἔφοδον. προφάσεις δὲ ἐξευρίσκουσι γελοίως. κρομμύων ὀσφραίνομαι: Τοῦτο γὰρ συμβαίνει, τὸ δακρύειν ἀκουσίως, τοῖς ὀσφραινομένοις κρομμύων.

sch ran 654 —ταῦτα γὰρ παρεκτικὰ δακρύων. Θ. (ἔπειτα προτιμᾷς οὐδέν: Καὶ νῦν οἷον οὐκ ἐπιστρέφῃ.

sch ran 655 δύναται δὲ τὸ αὐτὸ πρόσωπον λέγειν ὅλον.) τὴν ἄκανθαν ἔξελε: Ὁ Ξανθίας ἀλγήσας λέγει.

sch ran 657 R. ἐπάρας (τὸν πόδα) τὴν πτέρναν δείκνυσι. τί τὸ πρᾶγμα τουτί: Ὡς δυσκρίτως ἔχων τοῦτο λέγει ὁ Αἰακός.

sch ran 659

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Ἄπολλον, ὅς που: Ἄιδειν προσποιεῖται αἰσθόμενος ὁ Διόνυσος. οἱ γὰρ ἀλγοῦντες τοὺς θεοὺς ἀνακαλοῦνται.) (ἴαμβον Ἱππώνακτος: Ὡς ἀλγήσας καὶ συγκεχυμένος οὐκ οἶδε τί λέγει· ἐπεὶ οὐχ Ἱππώνακτος, ἀλλ' Ἀνανίου.

sch ran 661 ἐπιφέρει δὲ ὁ Ἀνανίας αὐτῷ ἢ Νάξον, ἢ Μίλητον, ἢ θείαν Κλάρον ἵκου καθ' ἱέρ', ἢ Σκύθας ἀφίξεαι. ) τὰς λαγόνας σπόδει: Κάθαιρε.

sch ran 662 σποδεῖν γὰρ κυρίως τὸ τοὺς βωμοὺς καθαίρειν. ὁ ἕτερος τῶν τυπτομένων λέγει.

sch ran 664 R. (ὃς Αἰγαίου πρῶνας: Παρὰ τὰ Σοφοκλέους ἐκ Λαοκόωντος «Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας, ἢ «γλαυκᾶς μέδεις εὐανέμου λίμνας, ἐφ' ὑψηλαῖς σπιλά«δεσσι στομάτων.

sch ran 665 ») ἀμφότεροι γὰρ ὠδυνήθησαν.

sch ran 668 R. V. ὁ Ἅιδης.

sch ran 670 R. ὁ Πλούτων. Θ. τὸν θεὸν ἐξ ὑμῶν. R. V. ⟦ Μοῦσα χορῶν ἱερῶν: Κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ' οὐκ ἔχει πάντα μέρη τῆς παραβάσεως, ἀλλὰ μόνα τὰ τέσσαρα, τὴν ᾠδὴν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν, τὸ ἀντεπίρρημα.

sch ran 675 ἔστι γοῦν ἡ παροῦσα ᾠδὴ ἐκ κώλων πολυσχηματίστων ιβʹ. ὧν τὸ πρῶτον τετράμετρον βραχυκατάληκτον ἀσυνάρτητον προσοδιακὸν ἀναπαιστικὸν καλούμενον, ἢ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ τρίτον ὅμοιον τρίμετρον ἀκατάληκτον, κατὰ τὴν τρίτην χώραν τῆς μὲν ᾠδῆς ἀμφιβράχεος, τῆς δ' ἀντῳδῆς κρητικοῦ κειμένου. τὸ τέταρτον χοριαμβικὸν, τοῦ δευτέρου ποδὸς ὄντος διτροχαίου, τρίμετρον βραχυκατάληκτον. τὸ εʹ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ςʹ δίμετρον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου ἀκατάληκτον. τὸ δὲ τῆς ἀντῳδῆς ἐκ διιάμβου καὶ διτροχαίου, τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. τὸ ὄγδοον χοριαμβικὸν ἡμιόλιον, συνίζησιν ἔχον εἰς τὸ Θρηϊκία, διὰ τὸ ἡμιόλιον εἶναι τὸ τῆς ἀντῳδῆς ἐκ διτροχαίου. τὸ ἔνατον ὅμοιον τῷ πέμπτῳ καὶ τὸ δέκατον, τὸ ἑνδέκατον μονόμετρον ὑπερκατάληκτον. τὸ δωδέκατον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. ἡ δὲ ἀντῳδὴ ἰσόμετρος. ἐπὶ τῷ τέλει τῆς μὲν ᾠδῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα· τῆς δὲ ἀντῳδῆς δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. ⟧ —Μοῦσα: Τερψιχόρη. Θ. Κλεοφῶντος: Κλεοφῶν στρατηγὸς τῶν Ἀθηναίων.

sch ran 679 καὶ εἰς τοῦτον τὸν δημαγωγὸν ὅλον δρᾶμα φέρεται Πλάτωνος καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον δὲ κωμῳδεῖ ὡς ξένον καὶ ἀμαθῆ καὶ φλύαρον (καὶ δυσγενῆ. Θρᾶκα γὰρ αὐτὸν ἔλεγεν. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως). (Θρῃκία χελιδὼν: Ἵνα διαβάλλῃ αὐτὸν ὡς βάρβαρον.

sch ran 681 κωμῳδεῖται δὲ ὡς υἱὸς Θρᾴσσης. οὗτος δὲ ἦν ὁ καλούμενος Κλεοφῶν ὁ λυροποιός. καὶ Πλάτων ἐν Κλεοφῶντι δράματι βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ δὲ Θρᾶσσα ἐλέγετο.) ⟦ χελιδὼν δὲ, ἀπαιδευσία. ἀηδόνιον δὲ νόμον, παρόσον ἡ ἀηδὼν τὸν ἑαυτῆς υἱὸν Ἴτυν θρηνεῖ. καὶ τοῦτον ἐπίκλαυτον ᾄδειν λέγει συνειδότα ἑαυτῷ δεινότατα περὶ τὴν πόλιν πεπανουργηκότι. ⟧ —ἀντὶ τοῦ ἀπαιδευσία. σκώπτει δὲ αὐτὸν ὡς Θρᾶκα. R. V. γοερὸν, θρηνητικόν.

sch ran 684 R. κἂν ἴσαι γένωνται: Αἱ ψῆφοι δηλονότι ⟦ αἱ λευκαὶ καὶ αἱ μέλαιναι ⟧ .

sch ran 685 ὑπερβολικῶς δὲ εἶπεν, ὅταν γὰρ ἴσαι αἱ ψῆφοι γένωνται, ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δὲ, ὅτι ὁ φεύγων ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν, ἀπὸ τοῦ κατὰ τὸν Ὀρέστην γενομένου. Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις [1469] ἐξέσωσά σε καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας κρίνας', Ὀρέστα. παράβασις τοῦ χοροῦ πρὸς τοὺς θεατάς.

sch ran 686

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπίρρημα. V. τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι: Τὸ τοιοῦτον παράβασις καλεῖται, ἅπερ ἔλεγον ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύσῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως. ⟦ σύγκειται δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κʹ. ὧν τελευταῖος ὑστέρῳ χρόνῳ πότ’ αὖθις εὖ φρονεῖν οὐ δόξομεν. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. ⟧ ἐξισῶσαι τοὺς πολίτας: Τουτέστιν, ἐντίμους ποιῆσαι τοὺς ἀτιμωθέντας.

sch ran 688 τοιαύτη γὰρ κατάστασις ἐνειστήκει, καθ’ ἣν ἐφυγαδεύθησάν τινες τῶν πολιτῶν καὶ ἄτιμοι ἐγένοντο. —δημοκρατίαν ποιῆσαι. R. Θ. M. (Ἄλλως.) ἴσως κἀνταῦθα περὶ τῶν δʹ λέγει στρατηγῶν, οἷον, καὶ εἴ τις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω κατακληθείς. δείματα δὲ τὰς ἀτιμίας λέγει, τοὺς φόβους ἀφελεῖν ἀπὸ τῶν εὐλαβουμένων. —τὰ δείματα: Τοὺς φόβους τοῦ ἐπικειμένου πολέμου. Vict. τὸ δὲ Φρυνίχου παλαίσμασιν, ἐπεὶ ὁ τραγικὸς Φρύνιχος ἐν Ἀνταίῳ δράματι περὶ παλαισμάτων πολλὰ διεξῆλθεν, ὡς πρόκειται. ἔθος δὲ ἔχουσιν οἱ κωμικοὶ παρακωμῳδεῖν τοὺς τραγικοὺς, ὅταν πολλάκις καὶ συνεχῶς χρῶνται τοῖς αὐτοῖς. ⟦ Ἄλλως. στρατηγοῦντος αὐτοῦ ἡττήθησαν Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ⟧ ἐγένετο δὲ στρατηγὸς, ἐφ’ οὗ πολλοὶ ἥμαρτον τῶν στρατηγῶν καὶ ἄτιμοι ἐγένοντο. τοῖς ἡμαρτηκόσιν.

sch ran 690 R. V. ἐγγενέσθαι: Εἰς φιλίαν ἐλθεῖν. Vict. (εἶτ’ ἄτιμον φημὶ χρῆναι, ἕως τοῦ, κἀντὶ δούλων δεσπότας: Ἐπειδὴ τοὺς συνναυμαχήσαντας δούλους ἐλευθέρους ἐποίησαν.

sch ran 692 καὶ Πλαταιᾶς δὲ εἶπεν, ὡς καὶ τῶν Πλαταιέων ἀφέντων ἐλευθέρους τοὺς συνναυμαχήσαντας περὶ Σαλαμῖνα.) καὶ Πλαταιᾶς: (Ἀντὶ τοῦ Πλαταιέας.

sch ran 694 ) τοὺς συνναυμαχήσαντας δούλους Ἑλλάνικός φησιν ἐλευθερωθῆναι, καὶ ἐγγραφέντας ὡς Πλαταιεῖς συμπολιτεύσασθαι αὐτοῖς, διεξιὼν τὰ ἐπὶ Ἀντιγένους τοῦ πρὸ Καλλίου. (Καλλίστρατός φησιν οὐ συναλοιφὴν εἶναι, ἀλλὰ διάλεκτον ἰδίαν, σημαίνουσαν τὸ δέον εἶναι.) ⟦ ἢ ὁμοίους ἡγεῖσθαι τοῖς ἐν Πλαταιάσι τὸ Ξέρξου νενικηκόσι πεζόν. ⟧ οὐ μέμφομαι ὑμῖν.

sch ran 695 V. M. λείπει τούτοις.

sch ran 697 R. χοἰ πατέρες ἐναυμάχησαν: Ἴσως περὶ τῶν δʹ στρατηγῶν λέγει τῶν σωθέντων ἐκ τῶν δέκα τῶν περὶ Ἀργέννουσαν ναυμαχησάντων.

sch ran 698 κατεδικάσθησαν γὰρ αὐτοὶ μὴ ἀνελόμενοι τοὺς νεκρούς. καὶ οἱ μὲν ἓξ ὑπομείναντες θανάτῳ ἐκολάσθησαν, οἱ δὲ λοιποὶ δʹ ἔφυγον· οὓς Ἀριστοφάνης κατακαλεῖσθαί φησι δεῖν καὶ ἐπιδίκους εἶναι. (ἡ δὲ Ἀργίνουσα κώμη ἦν τῆς Αἰολίδος. συμβαλόντες γὰρ ἐνίκησαν Ἀθηναῖοι Λακεδαιμονίους καὶ νικήσαντες ἐπανῆλθον. ἐν δὲ τῇ ὁδῷ χειμῶνι περιπεσόντες πολλοὶ τεθνήκασιν αὐτῶν καὶ τούτους ἐάσαντες οἱ στρατηγοὶ ἐπανῆλθον οἱ ιʹ. καὶ οἱ μὲν ἓξ ἐκολάσθησαν, οἱ δὲ δʹ ἔφυγον. ἴσως δὲ καὶ ἐν τῷ, εἴτις ἥμαρτε Φρυνίχου παλαίσμασι, περὶ τῶν αὐτῶν δʹ λέγει· οἷον, καὶ εἴτις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω κατακληθείς.) εἰ δὲ ταῦτ’ ὀγκωσόμεθ’: Ἐὰν δὲ ὡς μεγάλα ἁμαρτήματα ὑπερφονήσωμεν καὶ μὴ θελήσωμεν ἀνεῖναι τοῖς συνναυμαχήσασι.

sch ran 703 ⟦ ὑπερφρονήσωμεν, ἀλαζονευθῶμεν, μεγαλαυχήσωμεν. ⟧ κυμάτων ἐν ἀγκάλαις: (Δίδυμός· φησι παρὰ τῷ Αἰσχύλῳ.

sch ran 704 ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. θέλει δὲ εἰπεῖν,) καὶ ταῦτα ὄντες ἐν πολλοῖς κινδύνοις. ἐνειστήκει γὰρ ὁ Πελοποννησιακὸς πόλεμος. ⟦ ὑστέρῳ: Ὅτε βλαβησόμεθα τῷ πολέμῳ.

sch ran 705

⟧ (εἰ δ’ ἐγὼ ὀρθῶς ἰδεῖν: Τοῦτο Ἴωνός ἐστιν ἐκ Φοίνικος ἢ Καινέως «εἰ δ’ ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος, ὦ πολιῆται.

sch ran 706 » θέλει δὲ εἰπεῖν ὅτι εἰ δύναμαι κρίνειν.) ⟦ οἰμώξεται δὲ, τιμωρηθῆναι ὀφείλει. τὸ δὲ οὐ πολὺν, σύναπτε εἰς τὸ χρόνον. ⟧ —ἐπιστήμων καὶ δυνατός. R. πολύν: Συναπτέον εἰς τὸ χρόνον.

sch ran 707 Θ. ὁ πίθηκος: Ὁ ἐοικὼς κατὰ τὴν ἡλικίαν πιθήκῳ. Θ. Vict. ὁ μικρὸς: ⟦ Τῷ σώματι δηλονότι.

sch ran 709 ⟧ [φαίνεται δὲ ὁ Κλειγένης περὶ τὰ πολιτικά. καὶ τῶν πλουσίων μέν ἐστι, ξένος δὲ καὶ βάρβαρος οὗτος.] ὁπόσοι κρατοῦσι: Δέον εἰπεῖν, ὁπόσης κρατοῦσι γῆς, οὐκ εἶπεν, ἀλλ’ ἐπήνεγκεν, ὅσα παρέχεται βαλανεὺς τοῖς λουομένοις σμήγματα.

sch ran 710 —οἱ βαλανεῖς τοῖς λουομένοις ἐχορήγουν σμήγματα· τοῦτον δὲ ὡς βαλανέα ἐξάγει. V. Θ. M. κυκησιτέφρου κτλ.

sch ran 711 : Ταῦτα τοιαῦτα καθάρματά ἐστιν, οἷς οἱ λουόμενοι χρῶνται τῶν βαλανέων πωλούντων. γίνεται δὲ κυκησίτεφρον ἀπὸ τοῦ κυκῶ, τὸ ταράσσω, καὶ τοῦ τέφρα. Vict. καὶ Κιμωλίας γῆς: Μία τῶν Κυκλάδων αὕτη ἡ νῆσος (ἡ Κιμωλία), νιτροποιὸς γῆ, (ἐξ ἧς τὸ νίτρον ἢ τῶν Ἐρυθρῶν τῆς Ἰωνίας ἀκρωτήριον, φέρον ἄμμον στυπτικήν).

sch ran 712 τὸν οὖν Κλειγένην ἐν τοιούτῳ ἤθει λέγει· ὥσπερ εἰ ἔλεγε, πονηρότατός ἐστι πάσης γῆς, ὁπόσης οἱ βαλανεῖς κρατοῦσι, Κιμωλίας καὶ τέφρας καὶ τῆς λοιπῆς τῆς τοιαύτης. —ἔστι δὲ εἶδος λευκῆς γῆς. R. εἰδὼς δὲ τάδε: Ἃ πείσεται, οὐκ ἄοπλος διάγει, ἀλλ’ ἐν χειρὶ ξύλον ἀεὶ φέρει, μήποτε καὶ ἀποδυθῇ.

sch ran 714 πολλοὶ γὰρ αὐτῷ ἀπειλοῦσι. Br. ἀντὶ τοῦ βιώσεται ὅτι οἰμώξεται. R. οὐκ εἰρηνικὸς: Ἀντὶ τοῦ οὐχ ἥσυχος, ἀλλ’ οἷον ἔνοπλος.

sch ran 715 εἰδὼς δὲ, φησὶ, τάδε, προσεποιεῖτο πρόφασιν καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι’ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ. —ἵνα μή ποτε κ. τ. λ.: Πολλοὶ γὰρ αὐτῷ ἀπειλοῦσι. Vict. ⟦ πολλάκις ἡμῖν ἔδοξε: Τὸ ἀντεπίρρημα ὅμοιον κατὰ πάντα τῷ ἐπιρρήματι, ἐκ στίχων κʹ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν συγκείμενον, ὧν ὁ τελευταῖος ἥν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

sch ran 717 ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ⟧ τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι χρώμεθα. —πεπονθέναι: Ἀντὶ τοῦ πεποιηκέναι. διαβάλλει τοὺς Ἀθηναίους ὡς φιλοπονήρους. R. (εἴς τε τἀρχαῖον νόμισμα: Τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους Ἑλλάνικός φησι χρυσοῦν νόμισμα κοπῆναι.

sch ran 720 καὶ Φιλόχορος ὁμοίως τὸ ἐκ τῶν χρυσῶν Νικῶν.) (οὐ κεκιβδηλευμένοις: Ἀντὶ τοῦ, οὐ κακούργοις, οὐδὲ κεκαπηλευμένοις, ἀλλὰ καθαροῖς.

sch ran 721 τοῖς παλαιοῖς δηλονότι ἀνδράσι.) κεκωδωνισμένοις: Δεδοκιμασμένοις, (ἐκλελεγμένοις ἀκριβῶς).

sch ran 723 —χαραχθεῖσιν, ἐξητασμένοις καὶ δεδοκιμασμένοις. Θ. τοῖς πονηροῖς χαλκίοις: (Τοῖς χαλκοῖς κτίσμασι,) τοῖς ἀδοκίμοις καὶ μεμιγμένοις χαλκῷ.

sch ran 725 ὡς ἐπὶ νομισμάτων. (χαλκία δὲ ὡς χρυσία ἔλεγον τῷ σχήματι, χαλκᾶ σκεύη. νῦν δὲ ὡς κακὸν νόμισμα τὸ χρυσοῦν οὕτως εἶπεν. δύναιτο δ’ ἂν καὶ τὸ χαλκοῦν λέγειν. ἐπὶ γὰρ Καλλίου χαλκοῦν νόμισμα ἐκόπη.) (χθές τε καὶ πρώην: Ἀντὶ τοῦ καινοῖς.

sch ran 726 ὡς ἐπὶ νομίσματος δὲ τῷ κόμματι.) προσελοῦμεν: Ἀντὶ τοῦ προπηλακίζομεν, ἐλαύνομεν, ἐκβάλλομεν.

sch ran 730

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—προσελοῦμεν: Ὑβρίζομεν, ἀτιμάζομεν. Br. ἀτιμάζομεν. Vict. προσελεῖν τὸ ὑβρίζειν Ἀττικοὶ φασίν. E. προσελεῖν τὸ ὑβρίζειν. Vict. καὶ πυρρίαις: Ἀντὶ τοῦ δούλοις. ὄνομα γὰρ δούλου ὁ Πυρρίας. ⟦ ἀπό τινος δούλου Πυρρίου, ὡς καὶ Ξανθίας ἀπὸ Ξανθίου τινός. ὧν ὁ μὲν πυρρὸς ἦν τὴν κόμην, ὁ δὲ ξανθός. φαρμακοῖσι δὲ, ⟧ τοῖς λεγομένοις καθάρμασιν. —καθάρμασιν. Br. φαρμακοῖσι, καθάρμασι. τοὺς γὰρ φαύλους καὶ παρὰ τῆς φύσεως ἐπιβουλευομένους εἰς ἀπαλλαγὴν αὐχμοῦ ἢ λιμοῦ ἤ τινος τῶν τοιούτων ἔθουν, οὓς ἐκάλουν καθάρματα. C. χρῆσθαι δηλονότι.

sch ran 736 R. ἐξ ἀξίου γοῦν τοῦ ξύλου: Παρὰ τὴν παροιμίαν, ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι. θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ’ ἀγαθοῦ ἢ φαύλου πάσχειν. νὴ τὸν Δία τὸν Σωτῆρα: ⟦ Αἰακὸς ἢ ⟧ Πλούτωνος οἰκέτης πρὸς τὸν τοῦ Διονύσου Ξανθίαν.

sch ran 738 ⟦ κορωνὶς δὲ εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ος′. ὧν τελευταῖος ἐσπουδάκωσι, κλαύμαθ’ ἡμῖν γενήσεται. ⟧ ⟦ βινεῖν: Συνουσιάζειν, γαμεῖν.

sch ran 740 ὅτι οἱ κομίζοντες τὴν ἡλικίαν τὸ συνουσιάζειν ἀρχὰς ἔχουσι τοῦ βίου. ἄλλοι δὲ παρὰ τὸ βύειν δεδώκασιν. ⟧ ἐξελέγξαντ’ ἄντικρυς: (Γράφεται ἐξελεγχθέντα.

sch ran 741 ) λείπει δὲ τὸ θαυμάζω, ἢ τοιοῦτόν τι. —φανερῶς. R. V. [οἴμωζε μέν τ’ ἄν: Ἀντὶ τοῦ ἔφευγον καὶ εἴων αὐτὸν οἰμώζειν, εἰ ἔτυψέ με.

sch ran 743 ] τοῦτο μέντοι δουλικόν: Τὸ λοιδορεῖν τὸν δεσπότην ἀπόντα. μάλ’ ἐποπτεύειν δοκῶ: (Σύμμαχος οὕτως αὐτῇ τῇ λέξει φαίνεται συνεχῶς λέγειν· εὐφημοῦντες τὴν τῶν μυστηρίων ἐποπτείαν.

sch ran 745 ) οἱ τὰ μυστήρια παραλαμβάνοντες, μύσται καλοῦνται. οἱ δὲ παραλαβόντες τὰ μυστήρια τῷ αὖθις ἐνιαυτῷ ἐφορῶσιν αὐτὰ καὶ ἐποπτεύουσι, καὶ ἐποπτεύοντες χαίρουσιν ἐπὶ τῷ πολλὰ πράττειν. (ὁ δὲ νοῦς·) ὅταν, φησὶ, λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δὲ μάλλ’ εἶπεν ἀντὶ τοῦ οὐκ ἀλλά· ἐν οἵῳ τρόπῳ λέγομεν, οὐχ οἷον ἥδομαι, ἀλλ’ ὑπερήδομαι. ⟦ ἔστι δὲ καὶ ἄλλη γραφὴ, μάλα γ’ ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ, μάλ’ ἐποπτεύειν μοι δοκῶ. τονθορύζων δὲ, ψιθυρίζων, ἠρέμα γογγίζων, ἢ λάθρα φθεγγόμενος, ὑποτρέμων, τὰ χείλη κινῶν. τὸ δὲ, πολλὰ πράττων, ἢ ἀντὶ τοῦ, χαίρεις τονθορύζων, ἡνίκα πολλὰ μοχθῇς κελεύοντος τοῦ δεσπότου, νοητέον· ἢ οὕτω, τί δὲ χαίρεις πολλὰ πράττων, ἤγουν πάσχων, ἢ μοχθῶν· ἵν’ ᾖ ὁ τοῦ Αἰακοῦ λόγος κατ’ εἰρωνείαν. ἢ τοῦ οἰκέτου λέγοντος οὕτω· χαίρω ὡς μὰ τὸν Δία οὐδὲν ἄλλο οἶδα, εἰς ὃ χαίρω ἐγώ. ⟧ πολλὰ πράττων: Πάσχων.

sch ran 749 D. Ὁμόγνιε Ζεῦ: Τὴν ὁμοιότητα θαυμάζων, λέγει· οἷον, ὢ ὁμοιότητος.

sch ran 750 (τὸ δὲ παρακούων, οὐχ ὡς ἡμεῖς εἰώθαμεν λέγειν, καταφρονῶν τῶν λεγομένων παρὰ τῶν δεσποτῶν, ἀλλ’ ἴσως τὸ λάθρα ἐπακροώμενος. ἔνθεν καὶ ὠτακουστὰς οἱ Ἀττικοί φασι.) ⟦ τὸ δὲ, πλεῖν ἢ μαίνομαι, ἀντὶ τοῦ, ἐξανίσταμαι ἑαυτοῦ ἐκ τῆς ἀξίας. ⟧ τοῖς θύραζε: Τοῖς ἐκτός.

sch ran 752 Br. κἀκμιαίνομαι: Οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν, ὡς οἱ ὀνειρώττοντες.

sch ran 753 τοῦτο οὖν φησιν, ὅτι ἥδομαι ὡσανεὶ ἀποσπερματίζων. —ἀποσπερματίζω. ἁγνισμὸν λογίζομαι. Br. ὁμομαστιγίας: ⟦ Ὥσπερ φαμὲν ἑταιρεῖος Ζεὺς καὶ ὁμόγνιος καὶ ἱκέσιος καὶ ξένιος, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ δούλιος, ὁ τῶν δούλων ἔφορος.

sch ran 756 ἐπεὶ δὲ οἱ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν. ἢ βουλόμενος εἰπεῖν, ὃς ἡμᾶς νῦν εἰσήγαγε, παίζων παρ’ ὑπόνοιαν εἶπεν ὁμομαστιγίας. Ἄλλως. ⟧ ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος, (ὡς ἔμπροσθεν, ἢ ὁμάδελφος,) εἶπεν ὁμομαστιγίας, οἷον ὁμόδουλος. στικτέον δὲ ἐπὶ τοῦ μαστιγίας. μέλλων γὰρ αὐτοῦ πυνθάνεσθαι περί τινος πράγματος δουλικοῦ, σιωπᾷ, ἀκούσας ἔνδον γενομένου θορύβου, περὶ οὗ καὶ ἑξῆς πυνθάνεται. οὐ γὰρ ὁρκίζει αὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τοῦ Διὸς, ἵνα εἴπῃ αὐτῷ περὶ τῆς ἔνδον βοῆς. δύναται δὲ συνάπτεσθαι καὶ ἀπὸ τοῦ, καί μοι φράσον, μέχρι τοῦ, χὠ λοιδορησμός. νόμος τις ἐνθάδ’ ἐστὶ: Ἀπό τινος νόμος ἐστὶν ἐν τῷ ᾄδῃ, τὸν βελτίονα ἄνδρα τῶν ἑαυτοῦ συντέχνων ἐγγὺς τοῦ Πλούτωνος καθέζεσθαι.

sch ran 762 τῶν μεγάλων. R. (σίτησιν αὐτὸν: Ταῦτα μεταφέρει ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ ἐθῶν εἰς τὰ καθ’ ᾄδου.

sch ran 764 ) [τοῦ Πλούτωνος ἑξῆς: Ἀντὶ τοῦ, ἐγγὺς τοῦ θρόνου τοῦ Πλούτωνος.

sch ran 765 ] τῷ εὑρισκομένῳ σοφῷ.

sch ran 767 R. [βαλαντιητόμοις: Τοῖς τὰ βαλάντια τέμνουσιν, ἃ ἐν ταῖς ζώναις ἀπῃωρημένα φέρουσιν ἄνθρωποι.

sch ran 772 ] ἀντὶ τοῦ πλῆθος τῶν τοιούτων ἐστὶν ἐν Ἅιδου.

sch ran 774 R. τῶν ἀντιλογιῶν: Παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαθρόν.

sch ran 775 καὶ ἐν ἄλλοις [fr. 542] «στρεψίμαλ«λος τὴν τέχνην Εὐριπίδης.» λυγισμῶν: Καμπῶν. [γράφεται λογισμῶν, τουτέστι] παραλογισμῶν. τὸ δὲ κάμπτειν, ἅμα μὲν πρὸς τὰ μέλη, ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀναδύεσθαι. Ὅμηρος [Il. Λ, 105] «δίδη μόσχοισι λύγοισι.» Δίδυμος δὲ, λυγισμῶν, [ἀπὸ τῶν συνδέσεων τοῦ λόγου]. [ὑπερεμάνησαν: Ἀντὶ τοῦ, λίαν ἐχάρησαν.

sch ran 776 τούτων γὰρ οἱ τοιοῦτοι ὀρέγονται, ἵν’ ὁπότε φωραθῶσι κλέπτοντες, διὰ τούτων τοὺς κεκρατηκότας φεύγωσι. διαβάλλει δὲ Εὐριπίδην ἐνταῦθα ὡς λίαν πανοῦργον καὶ τὰ τοιαῦτα ἐν τοῖς δράμασιν ἐπιτηδεύοντα.] οὐκ ἐβάλλετο: Λίθοις δηλονότι.

sch ran 778 εἶτα οὐκ ἐλιθοβολεῖτο, φησὶ, τοῦτο ποιήσας. οὐράνιόν γ’ ὅσον: Ἀντὶ τοῦ, πολὺ (καὶ μεγάλως ἐβόησαν).

sch ran 783 ὀλίγον τὸ χρηστόν ἐστιν: Δείκνυσιν ὡς πρὸς τὸ θέατρον. μιγνύει δὲ τὰ ἐνθάδε τοῖς ἐκεῖ. νῦν γὰρ οὐ καθ’ Ἅιδου ἔφη. ὁ Σοφοκλῆς.

sch ran 789 R. (κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου: Καλλίστρατος, οὐχ ὡς παραδεδωκότος Αἰσχύλου τὸν θρόνον τῷ Σοφοκλεῖ, ἀλλ’ ὡς παραδεδεγμένου αὐτὸν καὶ ὑποκεχωρηκότος.

sch ran 790 ) (Κλειδημίδης: Καλλίστρατος, ὅτι ἴσως Σοφοκλέους υἱὸς οὗτος.

sch ran 791 Ἀπολλώνιος δὲ, ὅτι Σοφοκλέους ὑποκριτής. τοῦτο δὲ πόθεν, σκέψασθε. διαβάλλει δὲ καὶ Κλειδημίδην ὡς κακόξενον.) ἔφεδρος: Κριτής.

sch ran 792 Br. ἔφεδρος, ὁ μαχομένων τινῶν παρακαθήμενος, καὶ μέλλων τῷ νενικηκότι μαχήσασθαι. Br. (ἕξειν κατὰ χώραν: Ἀντὶ τοῦ, ἐάσειν οὕτως ὡς εὗρεν Αἰσχύλον καθέζεσθαι.

sch ran 793 ) ἀντὶ τοῦ ἄρτι.

sch ran 795 R. ζυγοστατηθήσεται. V. Θ. μειαγωγήσουσι τὴν τραγῳδίαν: Μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια ⟦ ὄϊς ⟧ ὑπὸ τῶν πατέρων εἰσφερομένους, διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον μεῖον.

sch ran 798 ὅτι δὲ ἵστατο, Ἀριστοφάνης ἐν Δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον, ἀπὸ τῶν κούρων, ὑπὲρ ὧν ἐθύετο. μεῖον δὲ, διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο, καθάπερ αὐτός φησιν Ἀριστοφάνης (ἀλλ’ εὔχομαι ’γωγ’ ἑλκύσαι σε τὸν σταθμὸν, ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτορες. ) μειαγωγὸς δὲ ἐλέγετο ὁ προάγων τὸ ἱερεῖον, (ὅτι μεῖον τὸ ἱερεῖον ἔλεγον, τὸ παριστάμενον ὑπὲρ τῶν εἰς τοὺς φράτορας εἰσφερομένων. μεῖον δὲ ἐκλήθη ἀπὸ τοῦ συμβαίνοντος. ἔδει γὰρ αὐτὸ ἔλαττον ἔχειν σταθμοῦ τινος ὡρισμένου διὰ τοὺς φιλοδοξοῦντας. οἱ δὲ φράτορες, ἵνα μείζονας νέμωνται μερίδας, ἐπεφώνουν, οὐκ ἐῶντες ἱστάναι, διὰ τοῦ μεῖόν ἐστιν.) ⟦ Ἄλλως. ἐάν τις εἰσάγῃ εἰς τοὺς ἰδίους φράτορας υἱὸν ἐν ἡλικίᾳ γενόμενον, παρίστη αὐτοῖς ἐπὶ ὡρισμένῳ σταθμῷ ἱερεῖον, πρὸς ὃν ἔδει προσάγειν, καὶ οὐκ ἐξῆν μεῖζον παρασχεῖν. ὅτε δὲ ἐντεθείη τὸ ἱερεῖον εἰς τὸν ζυγὸν,

περιεστῶτες ἐβόων, μεῖον μεῖον· τοῦτο δηλονότι ἔλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει καὶ μειαγωγεῖν τὴν τραγῳδίαν, τουτέστι πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσιν. ⟧ (Ἄλλως. ἐπεὶ εἰώθασι προσφέρειν οἱ εἰς τοὺς φράτορας γραφόμενοι πρόβατον, καὶ οἱ ἱστάμενοι ἔλεγον, μεῖον μεῖον. καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν.) —μειαγωγήσουσι: ὡς πρόβατον στήσουσι. R. V. ζυγοστατήσουσι. Br. τοὺς κανόνας: Κυρίως τὸ ἐπάνω τῆς τρυτάνης ὂν καὶ εἰς ἰσότητα ταύτην ἄγον.

sch ran 800 καὶ πλαίσια: Τὰ τῶν ξύλων τετράγωνα. — ὥσπερ πλινθία, ἐν οἷς πλινθεύουσι. τὸ δὲ ξύμπηκτα πρὸς οὐδὲν, ἀλλ’ οἷον περιττὰ καὶ σοφά. τοῦτο δὲ πρὸς Εὐριπίδην. R. V. Θ. M. καὶ διαμέτρους τοὺς διαβήτας ὡς Ὅμηρος [Il. B, 765] «σταφύλην ἐπὶ νῶτον ἐΐσας.» V. ⟦ πλαίσιον γὰρ, πλινθίον τετράγωνον. Ἀφθόνιος [p. 106, 16 W.] · καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος. διάμετρος δὲ, ἡ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμή. διαβήτης, σταφύλη· ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τῆς καθιεμένης μολύβδου τιθέμενον. Ὅμηρος «σταφύλην ἐπὶ νῶτον ἔχουσα.» οὐδὲν δὲ ἀλλ’ οἷον περιττὰ καὶ σοφά. ἢ διὰ τούτων δείκνυσιν ὅτι παντοδαπῶς ἐξετασθήσεται. ⟧ —ξύμπηκτα: Ἡνωμένα. Br. ἀπὸ (ἀντὶ V.

sch ran 801 ) τοῦ καθιεμένου μολίβου. R. V. ταυρηδὸν: Τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος ὁ Αἰσχύλος.

sch ran 807 οὔτε γὰρ Ἀθηναίοισιν: Ἀντὶ τοῦ οὐκ ἤρεσκεν. R. [ὡς φαύλων περὶ τὰς ἀποκρίσεις ὄντων οὐκ ἐστοίχησεν.] —ξυνέβαινεν: Ἔχαιρεν, ἀπεδέχετο αὐτούς. Brunck. [τοὺς τοιχωρύχους: Τοὺς προσέχοντας Εὐριπίδῃ πονηρούς.

sch ran 808 ] λῆρόν τε τἄλλ’ ἡγεῖτο: [Ἀντὶ τοῦ, τοὺς ἄλλους.

sch ran 809 ] Ἀθηναίους μὲν συνετοὺς ἡγεῖτο, πονηροὺς δὲ τοὺς πλείστους. διὸ μὴ ἐπιτρέψαι αὐτοῖς τὴν κρίσιν. τοὺς δὲ ἄλλους ἀνθρώπους λῆρον ἡγεῖτο πρὸς τὴν τοιαύτην ἐξέτασιν. αὐτοῦ γὰρ ὁ ἀγών.

sch ran 811 R. ὡς ὅταν γ’ οἱ δεσπόται: Ὅταν γὰρ οἱ δεσπόται σπουδάζωσι θᾶττόν τι ἀπαρτισθῆναι, ἐπιπλήττουσι τοῖς δούλοις, ἵνα θᾶττον ἐνεργῶσιν.

sch ran 814 ⟦ ἦπου δεινὸν ἐριβρεμέτας: Κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ, τέσσαρος περιόδους ὁμοίους ἔχουσα. τὰ κῶλα δ’ ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἑφθημιμερῆ, τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δεύτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἑφθημιμερῆ. τὰ δ’ ἕβδομα τροχαϊκὰ ἑφθημιμερῆ Εὐριπίδεια. μετροῦνται μέντοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα πεντάμετρον καὶ ἕνα τροχαϊκὸν δίμετρον καταληκτικόν. ⟧ ἦπου δεινὸν ἐριβρεμέτας: Ὁ Αἰσχύλος πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες· οἷά ἐστι κἀκεῖνα ἐν ἀρχῇ τοῦ Προμηθέως χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον, Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν. Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς, ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι, ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις. καὶ πάλιν ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ’ ἐρρωμένως. ἐριβρεμέτας: Ὁ μεγαλόφωνος Αἰσχύλος. Br. τὸν ὀξέως λαλοῦντα.

sch ran 815 R. V. θήγοντος ὀδόντας: Ἀπὸ μεταφορᾶς εἶπε τῶν χοίρων, οἳ ὅταν εἰς μάχην παρασκευάζωνται, τοῦτο ποιοῦσι. στροβήσεται δὲ, ἀντὶ τοῦ ταραχθήσεται. Εὐριπίδου.

sch ran 816 R. ταραχθήσεται.

sch ran 817 R. ὑψιλόφων τε λόγων: Τῶν τοῦ Αἰσχύλου· διὰ τὸ ὑψηλόν.

sch ran 818 ⟦ τουτέστι μετεώρων, μεγάλων. ⟧ χαρακτηρίζει δὲ ἀμφοτέρους, Εὐριπίδην καὶ Αἰσχύλον. σκινδαλμῶν τε παραξόνια: Σκινδαλμὸς κυρίως τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα.

sch ran 819

παραξόνια δὲ, οἷον κινδυνώδη καὶ παράβολα, περὶ τὸν τροχὸν ἑλκόμενα. (καὶ ἄνω [99] ἔφη ἐπ’ αὐτοῦ τοῦ Εὐριπίδου «τοιουτονί τι παρακεκινδυνευμένον.» Ἄλλως. παραξόνια, κινδυνώδη·) ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει. σμιλεύματα δὲ, τὰ ἐκβαλλόμενα ἀπὸ σμίλης. ἀντὶ τοῦ διαγλύμματα, ἐρεθίσματα. —σχινδαλμῶν: Λεπτολογιῶν. Br. φιλονεικήματα. R. ⟦ φρενοτέκτονος: Τοῦ ἐκ τῆς αὐτοῦ φρενὸς τεκταινομένου καὶ συντεθέντος Αἰσχύλου.

sch ran 820 ταῦτα δὲ λέγει, ἐπειδὴ τοιούτοις ὀνόμασιν Αἰσχύλος ἐκέχρητο κτύπον ἀποτελοῦσι. τὸ δὲ ἑξῆς, φωτὸς ἀμυνομένου, τουτέστι τοῦ Εὐριπίδου ἀμυνομένου τὰ ἱπποβάμονα ῥήματα τοῦ φρενοτέκτονος ἀνδρός· τουτέστι τοῦ Αἰσχύλου. ⟧ παρὰ τὴν βάσιν τῶν ἵππων.

sch ran 821 R. φρίξας δ’ αὐτοκόμου: Ὡσεὶ εἶπεν, ὀργισθεὶς ὥσπερ σῦς· πᾶν δέ τ’ ἐπισκύνιον κάτω ἕλκεται.

sch ran 822 (εἰς ἓν δὲ συνήγαγεν ὁμοῦ ἀμφοτέρας τὰς Ὁμηρικὰς εἰκόνας, τήν τε ἐπὶ τοῦ λέοντος, [ἐν τῷ, λασιαύχενα χαίταν,] καὶ τὴν ἐπὶ τοῦ συός.) ⟦ ἐπισκύνιον ξυνάγων: Ὅμηρος [Il.

sch ran 823 P, 136] πᾶν δέ τ’ ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων · τὸ περὶ τὰς ὀφρῦς δέρμα· κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκῦλος γὰρ λέγεται τὸ δέρμα· ἔνθεν καὶ σκυλοδέψης, ὡς βυρσοδέψης. τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος ἤτοι δέρμα. τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι, τὸ ὀργίζεσθαι, διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις, καὶ ἐπισκύσαι, τὸ χαλεπῆναι· ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας. Junt. ἐπισκύνιον ξυνάγων: Συστέλλων. C. ἐπισκύνιον ξυνέχων· Συνάγων, ὥσπερ οἱ θυμούμενοι θῆρες. D. ⟧ γομφοπαγῆ: Ἀκριβέστατα, πολυσύνθετα, (σκληρὰ, καὶ ἦχον ποιοῦντα, ὥσπερ αἱ κεκαρφωμέναι σανίδες).

sch ran 824* πινακηδὸν ἀποσπῶν: Ἀποσπῶν τὰ ῥήματα ὥσπερ πίνακας ἀπὸ πλοίων, οὐχ ὡς Εὐριπίδης, σκινδαλμούς. πινακίδες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων, ⟦ δίκην σανίδων τῶν ἐκ νεὼς ἀποσπωμένων ἐν τρικυμίᾳ ⟧ . γηγενεῖ φυσήματι: Ἀντὶ τοῦ μεγάλῳ, ὥστε σεισμοὺς ποιεῖν.

sch ran 825 ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων (κατεχομένην) σείεσθαι τὴν γῆν. λίσπη: Τῷ τόνῳ ὡς κίστη.

sch ran 826 Ἀπολλώνιος δὲ ὀξύνει ὡς ψιλή. λίσπη δὲ ἡ ἐκτετριμμένη καὶ λεία. οὕτω γὰρ λέγονται οἱ τοιοῦτοι ἀστράγαλοι· ἀφ’ οὗ καὶ οἱ λίσποι τὰ ἰσχία. Καλλίστρατος δὲ θηρίδιον λεπτὸν σφόδρα· ἀφ’ οὗ καὶ οἱ τὰ ἰσχία λεπτοὶ λίσποι λέγονται. Ἄλλως. λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα· διὰ τὸ ἐν τοῖς λόγοις εὐαπόφυκτον. ⟦ Ἄλλως. λίσπους καλοῦσι τοὺς ὑφ’ ἡμῶν καλουμένους στρυφνοὺς ἀστραγάλους. οἱ τοιοῦτοι δὲ δυστροπικοί εἰσιν ἐν τῷ παίζειν. λέγει δὲ τὴν Εὐριπίδου. πρὸς δὲ τὸ ἱπποβάμονα, καὶ τὰ λοιπὰ, τὸ κινοῦσα χαλινοὺς εἶπε. φθονεροὺς δὲ, ὡς φθονουμένου τοῦ Εὐριπίδου ἐπὶ σοφίᾳ. δαιομένη δὲ, διαμερίζουσα, διαιροῦσα, κατατέμνουσα τὰ Αἰσχύλου ῥήματα. καταλεπτολογήσει δὲ, τὴν τοῦ Αἰσχύλου λεπτολογίαν λεπτῶς βασανίσει ὁ Εὐριπίδης. ⟧ διαμερίζουσα, διαιροῦσα.

sch ran 828 R. τὴν τοῦ Αἰσχύλου λεπτολογίαν καταλεπτολογήσει ὁ Εὐριπίδης. R. (πλευμόνων πολὺν πόνον: Τὰ γὰρ τοιαῦτα ῥήματα μετὰ πολλοῦ ἐξέρχονται πόνου.

sch ran 829 ) οὐκ ἂν μεθείην: ⟦ Γράφεται καὶ μεθείμην.

sch ran 830 κορωνὶς δὲ εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με′. ὧν τελευταῖος ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ἐπᾴσατε. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ —πρὸς τὸν Αἰσχύλον Εὐριπίδης. R. ⟦ αἰσθάνει γὰρ τοῦ λόγου: Ὃν λέγει, ὡς οὐ παραχωρήσει σοι τοῦ θρόνου, φάσκων εἶναί σου κρείττων.

sch ran 832 ⟧ ἀποσεμνυνεῖται: Ἀντὶ τοῦ, ἀπονοεῖται σιωπῶν.

sch ran 833

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπερηφανεῖ πάλιν, ὅπερ ἐποίει ζῶν. Ἄλλως. σεμνότητος γὰρ ἕνεκα ἐπιπολὺ ἐσιώπα Αἰσχύλος, ἐν τοῖς θεάτροις εἰσιών. —σεμνῶς ἑαυτὸν σχηματίσει. Br. ὡς τοῦ Αἰσχύλου τερατευομένου ἐν ταῖς ἀρχαῖς τῶν δραμάτων.

sch ran 834 R. λείπει κατ' αὐτοῦ.

sch ran 835 R. ἀγριοποιὸν: Ἀγρίους εἰσάγοντα καὶ ὠμοὺς τοὺς ἥρωας.

sch ran 838 (ἀπύλωτον στόμα: Φρύνιχος, ἀθύρωτον. οἱ δὲ γράφουσιν ἀπύλωτον, ἀντὶ τοῦ ἀνεῳγμένον καὶ πύλην μὴ ἔχον, μὴ χαλιναγωγούμενον, μηδὲ κρατούμενον.) ἀπεριλάλητον: Ἤτοι οὐκ εἰδότα λαλεῖν, ἢ οἷον οὐκ ἄν τις περιλαλῆσαι.

sch ran 839 (κομποφακελορρήμονα δὲ,) βαρυρρήμονα, ⟦ σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα ⟧ . φάκελοι γὰρ τὰ βαρέα ⟦ καὶ συνδεδεμένα ⟧ φορτία τῶν ξύλων. —σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα. Br. ἄληθες ὦ παῖ: (Ἐν ἐρωτήσει.

sch ran 840 ἀντὶ τοῦ, ὄντως δὴ σύ.) ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν Κλειτοῦς ὁ Εὐριπίδης, (Ἀλέξανδρός φησιν. εἴρηται δὲ ὁ στίχος παρὰ τὰ Εὐριπίδου) ἄληθες ὦ παῖ τῆς θαλασσίας θεοῦ. βαρυτονητέον δὲ τὸ ἄληθες. ⟦ ἀρουραίας δὲ, διότι τὰ λάχανα ἐκ τῆς γῆς φύεται. ⟧ ⟦ πτωχοποιὲ: Ὁ τὸν Τήλεφον τὸν βασιλέα Μυσῶν πτωχὸν ποιήσας.

sch ran 842 στωμυλιοσυλλεκτάδη δὲ, ὁ πολυλογίας συνάγων. ⟧ —ἀντὶ τοῦ στωμύλα ῥήματα συλλέγων. R. Θ. πολυλογίας συλλέγων. Br. ⟦ ῥακιοσυρραπτάδη δὲ, ὁ τὰ ῥάκη συρράπτων καὶ ἐνδύων τοὺς βασιλεῖς. ἢ ὁ τὰ τῶν ἄλλων ποιητῶν συλλέγων καὶ οἰκεῖα ἑαυτοῦ λογιζόμενος. ⟧ —τὰ ῥάκη συλλέγων. R. ⟦ σπλάγχνα θερμήνῃς: Θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινούμενος.

sch ran 844 ἢ ὀργὴ ἐναρχομένη. κότος δὲ, ὀργὴ θυμὸν ἐπιτηροῦσα. μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ, ὀργὴ διοιδοῦσα. ὀργὴ δὲ, ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος (ἤγουν προσηκόντως. Vict.) . ⟧ ἢ λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι. τὸν χωλοποιὸν: Διὰ τοὺς τρεῖς, Βελλεροφόντην, Φιλοκτήτην, Τήλεφον.

sch ran 847 ἄρν' ἄρνα μέλαιναν: Ὡς τοιαύτης γινομένης θυσίας τῷ Τυφῶνι ἐπὶ τῷ λῆξαι τὰς καταιγίδας. —ἄρν' ἄρνα μέλαιναν: Τοιαῦτα γὰρ ἔθυον τῷ Τυφῶνι, ὁπότε στροβιλώδης ἐκινήθη ἄνεμος. τῶν γὰρ τοιούτων οὗτός ἐστιν ἔφορος. εἰκότως δὲ μέλαιναν, καὶ οὐ λευκὴν, ἐπειδὴ καὶ ὁ Τυφὼς μέλας. Br. τυφὼς γὰρ ἐκβαίνει: (Οἷον ἀθρόως ἐκβαίνειν μέλλει.

sch ran 848 ) τοὺς δὲ καταιγιδώδεις ἀνέμους τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφάζειν, ὅπως λήξῃ τὸ πνεῦμα. εἰς τὸν Αἰσχύλον δὲ τοῦτο. ὦ Κρητικὰς μὲν: (Ἐν γὰρ τοῖς Κρησὶν Ἴκαρον μονῳδοῦντα ἐποίησε.

sch ran 849 καὶ) οἱ μὲν εἰς τὴν τοῦ Ἰκάρου μονῳδίαν ἐν τοῖς Κρησί. θρασύτερον γὰρ δοκεῖ εἶναι τὸ πρόσωπον. Ἀπολλώνιος δὲ, ὅτι δύναται καὶ εἰς τὴν Ἀερόπην τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι· ἣν εἰσήγαγε πορνεύουσαν. οἶμαι δὲ διὰ τὰ ἐν τῷ Αἰόλῳ. Τιμαχίδας δὲ, διὰ τὴν (ἐν τοῖς Κρησὶ) μίξιν Πασιφάης πρὸς τὸν ταῦρον. ⟦ Ἄλλως. ἐκ τῶν ἐν τῷ Αἰόλῳ Κανάχης καὶ Μακαρέως, ἢ, ὥς τινες, Δανάης καὶ Μεγαρέως ἀδελφῶν. ἐδόκει γὰρ τοῖς παλαιοῖς πάνυ ἐναγὲς εἶναι ταῖς ἀδελφαῖς μίγνυσθαι. ἢ ὅτι ἡ Φαίδρα, ἧς τὸ πάθος ἐδραματούργησε, Κρῆσσα ἦν. καὶ γάμους ἀνοσίους λέγει, διὰ τὸ αὐτὴν ἐρασθῆναι μὲν Ἱππολύτου, ὃν ὁ Θησεὺς ἐξ Ἱππολύτης ἔσχε, μιᾶς τῶν Ἀμαζόνων, μὴ δυνηθεῖσαν δὲ τελέσαι τὸν ἔρωτα διὰ τὴν Ἱππολύτου σωφροσύνην, ἀγχόνῃ χρήσασθαι. ⟧ πόνηρον ἐνταῦθα ἢ τὸν κακὸν νοεῖ, εὕρηται γὰρ καὶ οὕτως, ἢ τὸν γεωργόν.

sch ran 852 Cant.1. ἵνα μὴ κεφαλαίῳ: Ἀντὶ τοῦ ἀδρῷ.

sch ran 854 καὶ ἐν Νεφέλαις [981] κεφάλαιον ῥαφανῖδος, οὐδ' ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος. κεφαλαίῳ: Καθολικῷ καὶ μεγάλῳ. Br. κεφάλαιόν ἐστι τὸ πρὸς τὰ φύλλα καυλῶδες.

οὐκ ἔτεμον δὲ κατὰ μῆκος ὡς νῦν, ἀλλὰ κατὰ κύκλον τὰς ῥαφανῖδας. Vict. ἐκχέῃ τὸν Τήλεφον: Ὡσανεὶ ἔφη τὸν ἐγκέφαλον.

sch ran 855 ἰδιώτατα δὲ τὸν Τήλεφον κωμῳδεῖ. ἔλεγχ’ αὐτὸν, ἐλέγχου παρ’ αὐτοῦ.

sch ran 857 C. D. ὥσπερ πρῖνος: Ὅτι ἡ πρῖνος καιομένη ψόφον ποιεῖ.

sch ran 859 —ἔστι δὲ ἡ πρῖνος ξύλον πικρότατον. R. V. Θ. ὡς ἐπὶ ἀλεκτρυόνων.

sch ran 861 R. V. τὰ κεφάλαια.

sch ran 862 R. κἄτι μάλα τὸν Τήλεφον: Ὡσεὶ ἔφη, καὶ ὃν κωμῳδεῖς Τήλεφον, εἰς μέσον φέρε.

sch ran 868 ὁτιὴ ποίησις οὐχὶ συντέθνηκεν: Ἐπεὶ τὰ Αἰσχύλου ἐψηφίσαντο διδάσκειν. κομπῶδες δὲ τοῦτο ἔφη. τῶν γὰρ δυνατῶν καὶ μετὰ θάνατον ᾄδονται τὰ ποιήματα. —ὁτιὴ: Διότι. ποίησις· Ἡ. D. τούτῳ δὲ συντέθνηκε: Συναποθανοῦσα πάρεστιν ἐνθάδε ἐν τῷ Ἅιδῃ, καὶ ἕξει αὐτὴν ξύμμαχον.

sch ran 874 ὑμεῖς δὲ ταῖς Μούσαις: Πρὸς τὸν χορόν. ἴσον τῷ προᾴσατε, ὡς ὑπογραμμὸς, προγραμμός τις ὤν. ⟦ Διὸς ἐννέα: Κορωνὶς καὶ εἴσθεσις ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα τίθεσθαι, ἐκ κώλων ἀναπαιστικῶν μὲν διμέτρων ἑφθημιμερῶν κατὰ τὰς περιττὰς χώρας, κατὰ δὲ τὰς ἀρτίας ἀντισπαστικῶν ἡμιολίων ἐξ ἐπιτρίτου τετάρτου, ἢ καὶ πεντασυλλάβου, πλὴν τοῦ τρισκαιδεκάτου ἰαμβικοῦ καθαροῦ ὄντος ἑφθημιμεροῦς· ἐφ’ ᾧ κορωνίς.

sch ran 875 ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα· ὧν τελευταῖος ὀρθῶς μ’ ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγων. ἐπὶ τῷ τέλει παράγραφος. ⟧ —ἀντὶ τοῦ θυγατέρες. R. Ven. περὶ Αἰσχύλου.

sch ran 876 R. V. γνωμοτύπων: ⟦ Τῶν τὰς οἰκείας γνώμας διὰ τῶν λόγων τυπούντων.

sch ran 877 ἢ τῶν τύπους αὐτὰς τοῖς ὕστερον καταλιμπανόντων. ἢ ⟧ τῶν ταῖς γνώμαις ἀλλήλους τυπτόντων. ὀξυμερίμνοις: Τοῖς μετὰ σκέψεως εὑρισκομένοις καὶ ἀσαφέσι. ῥήματα καὶ παραπρίσματα: Τὰ μὲν ῥήματα πρὸς τὸν Αἰσχύλον, τὰ δὲ παραπρίσματα πρὸς τὸν Εὐριπίδην λεπτολόγον ὄντα.

sch ran 886 Δήμητερ ἡ θρέψασα: Παρόσον Ἐλευσίνιος τῶν δήμων ἦν ὁ Αἰσχύλος. ⟦ ἢ ὅτι ἐν τοῖς Ἐλευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ Αἰσχύλου. ἔστι δὲ τοῦτο τὸ ἔπος Αἰσχύλου. ⟧ λείπει ποίησον ἢ δός.

sch ran 887 R. M. τὸν καρπόν.

sch ran 888 R. (καλῶς: Ὅτι καὶ νῦν τὸ καλῶς ἐπὶ παραιτήσει. ἀποστρεφόμενος δὲ καὶ παραιτούμενος ὁ Εὐριπίδης λέγει τὸ καλῶς.) ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι: Ἅτε δὴ Σωκρατικὸς ὢν καινὰ δαιμόνια ἔπλασεν.

sch ran 890 ὡς ἐπὶ νομισμάτων. R. (τοῖσιν ἰδιώταις θεοῖς: Τινὲς ἐν τῷ θεοῖς δύο τιθέασιν, ἵνα ἓν ᾖ τὸ, ἴδιοί τινές σοι κόμμα καινόν.

sch ran 891 ) αἰθὴρ ἐμὸν βόσκημα: (Καὶ Σωκράτης ἐν Νεφέλαις [627] μὰ τὴν ἀναπνοὴν, μὰ τὸ χάος, μὰ τὸν ἀέρα.

sch ran 892 ) χαρακτηρίζει δὲ Εὐριπίδην, εὐεπίφορον ὄντα ἐπὶ τὸ ὀνομάζειν αἰθέρα. στρόφιγξ δὲ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. —ἀντὶ τοῦ στροφὴ, κίνησις. R. ⟦ μυκτῆρες δὲ ὀσφραντήριοι, ὡς συντελούντων τῶν μυκτήρων εἰς τὴν φωνήν. ⟧ λείπει τὸ ποιήσατε R.

sch ran 894 δότε ἢ θελήσατε. Θ. ⟦ καὶ μὴν ἡμεῖς: Κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ, ὅτι προτίθεται τῆς διπλῆς, ἐκ κώλων τροχαϊκῶν ιδʹ· ὧν τὰ μὲν αʹ, βʹ, εʹ, ςʹ, ηʹ, θʹ, ιαʹ, ιβʹ, ιδʹ δίμετρα ἀκατάληκτα, τὰ δ’ ἄλλα ἑφθημιμερῆ, πλὴν τοῦ παρατελεύτου μονομέτρου ἀκαταλήκτου ὄντος.

sch ran 895 ἐπὶ τῷ τέλει κορωνίς. ⟧ [λόγων ἐμμέλειαν: Ὅτι καταχρηστικῶς νῦν τὴν εὐρυθμίαν.

sch ran 896

κυρίως γὰρ ἡ μετὰ μέλους τραγικὴ ὄρχησις. οἱ δὲ, ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις.] —ἔπιτε: ἐπέλθετε. R. D. δαΐαν ὁδὸν: Ἀγωνιστικὴν, ἔμπειρον, (ἀπὸ τοῦ δαῆναι).

sch ran 897 —ἢ φιλόνεικον. R. ἤγουν μαθεῖν. Vict. ἐπὶ τούτοις δὲ δαΐαν ὁδὸν, ἔμπειρον. ἢ ἀντὶ τοῦ φιλόνεικον. (προσδοκᾶν οὖν: Ἔθος τοῖς ποιηταῖς προλέγειν, ἃ εἰς τὸ ἑξῆς λέγειν μέλλουσι.

sch ran 900 κἀνταῦθα οὖν οὗτος τοῦτο ποιεῖ.) κατερρινημένον: Ἐξεσμένον.

sch ran 902 ῥίνη γὰρ ἐργαλεῖον τεκτονικὸν, (ᾧ ῥινοῦσιν. ἢ εὐτελὲς, ὅτι ἐξευτελίζομεν τῇ ῥινί). —τὸν Εὐριπίδην. R. V. αὐτοπρέμνοις: Δυσκόλοις, προρρίζοις, ἢ μεγάλοις.

sch ran 903 —τὸν Αἰσχύλον. V. ἀλινδήθρας: (Συναγωγὰς, στροφὰς, λεπτολογίας, πλοκὰς τοῦ Εὐριπίδου.

sch ran 904 ) —ἀλινδῆθραι ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω. Vict. κυλίστρας. R. ⟦ ἀλλ’ ὡς τάχιστα: Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν Ἱππωνακτείων τετραμέτρων καταληκτικῶν ξς′· ὧν τελευταῖος πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κῖος.

sch ran 905 ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ⟧ οἷον τὸν ἐμὸν χαρακτῆρα.

sch ran 907 R. ἐν τοῖς τελευταίοις.

sch ran 908 R. παρὰ Φρυνίχῳ τραφέντας: (Ἀπατεὼν γὰρ, ὡς ἀφελέστερος ὁ Φρύνιχος.

sch ran 910 νῦν δὲ) Φρύνιχον λέγουσι τὸν τραγῳδοποιητήν. τοῦτον δὲ ἐπαινοῦσιν εἰς τὴν μελοποιίαν. νυνὶ δὲ ὡς ἀφελοῦς ὄντος αὐτοῦ μνημονεύει ὁ Ἀριστοφάνης. ἦν δὲ πρὸ Αἰσχύλου. ἐγκαλύψας: Ὡς αὐτοῦ εἰσφέροντος ἐν δράματι τινὰ κεκαλυμμένον.

sch ran 911 ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ’ Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. (Ἄλλως. εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις· ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται.) (οὐδὲ τουτί: Εἰκὸς αὐτὸν ἀποκροτοῦντα τῷ δακτύλῳ δεικνύειν τὸ οὐδὲ τουτί.

sch ran 913 ) ⟦ τὸ δὲ, οἱ δ’ ἐσίγων, ὁ Ἀχιλλεὺς, φασὶ, καὶ ἡ Νιόβη. ⟧ σωρούς.

sch ran 914 R. καί με τοῦτ’ ἔτερπε: Μᾶλλον τῇ σιωπῇ ἐτερπόμην ἢ τοῖς νῦν λαλοῦσιν.

sch ran 916 ὅτι οἱ πολλοὶ ἐν σκηνῇ ἐλάλουν. πρὸς τὸν Διόνυσον.

sch ran 917 R. ὁ δεῖνα: Ὅτι ἐπὶ δείξεως.

sch ran 918 δείκνυσι γὰρ τὸν Αἰσχύλον παρόντα. διῄει: Ἀνύοιτο (ἂν, εἰς τέλος ἂν ἦλθεν).

sch ran 921 ⟦ ὢ παμπόνηρος: Ἢ ἐγὼ, ἢ αὐτὸς νόει. καὶ πρὸς μὲν τὸν Διόνυσον, ὢ παμπόνηρος ἐγὼ, ὁ εἰς πάντα πονηρευόμενος καὶ πάντα ἐξετάζων, οἷα ἐφενακιζόμην ὑπ’ αὐτοῦ ἐπὶ τούτῳ· πρὸς δὲ τὸν Αἰσχύλον, στίξον εἰς τὸ παμπόνηρος, καὶ τὸ ὢ ἀντὶ τοῦ φεῦ· ὢ παμπόνηρος ὑπάρχει αὐτὸς, ταῦτα πονηρευόμενος εἰς ἀπάτην τῶν θεατῶν. ⟧ —ὑπὸ τοῦ Αἰσχύλου. R. τί σκορδινᾷ: Οὕτως ἔλεγον τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν, σκορδινᾶσθαι.

sch ran 922 γίνεται δὲ περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη· ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη. —σκορδονιᾷ: Δριμύτατα βλέπεις. δριμέα γὰρ τὰ σκόροδα. Cant. 1. βόεια: [Μεγάλα καὶ κτύπου πλέα, ὀφρῦς ἔχοντα,] ὑψηλὰ καὶ ὑπερήφανα.

sch ran 925 μορμορωπὰ: Καταπληκτικὰ, φοβερά. ἐκ μεταφορᾶς τῆς μορμοῦς, τῆς τὰ βρέφη φοβούσης. ἄγνωτα τοῖς θεωμένοις: (Ἀπὸ τοῦ ἄγνωτος.

sch ran 926 οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ ἀγνὼς εἰς οὐδέτερον γένος, ὥς φησιν Ἡρωδιανός.) —ἄγνωστα. R. ἢ Σκαμάνδρους: Χαρακτηριστικὸν καὶ τοῦτο· ὅτι πολὺς Αἰσχύλος ἐν τῷ ποταμοὺς καὶ ὄρη λέγειν.

sch ran 929 γρυπαιέτους: Ἐπίσημα ἀσπίδος ἀλλόκοτα. (εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας ἀετούς.) ζητεῖται δὲ, ποῦ μᾶλλον τὸ ἤ συναπτέον· εἰς τὸ, ἢ ’π’ ἀσπίδων ἐπόντας· ἢ τοῖς ἄνω· ἢ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γρυπαιέτους χαλκηλάτους. —Ἄλλως. ἐπὶ ἀσπίδων ὄντας. R. ἤδη ποτ' ἐν μακρῷ: Παρὰ τὸ ἐξ Ἱππολύτου [378] ἤδη πότ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ.

sch ran 932 προείρηται ὅτι ἐκ τῶν Μυρμιδόνων ἐστὶν ἐπὶ νεὼς «ἐπὶ δ' αἰετὸς ξουθὸς ἱππαλεκτρυών.» τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου. R. ἱππαλεκτρυόνα: Γράφεται κολοκτρυόνα, ὡς γένος τι Περσικὸν ἀττελάβοις ὅμοιον. ⟦ Ἄλλως. ἱππαλεκτρυὼν εἰ καὶ τοῖς φιλοσόφοις ἀπηγόρευται μὴ εἶναι, ἀλλ' ἐστὶ τῇ ἀληθείᾳ ζῷον θαλάσσιον, ὃν καί τις τῶν καθ' ἡμᾶς εὑρὼν κατὰ τύχην ἐξιόντα ἀπεκτονὼς καὶ πᾶσι νεκρὸν δείξας, ἐνέγραφεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι, ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τὸ ἵππος ἐπὶ τοῦ μεγάλου. ⟧ Ἔρυξιν: Οὗτος γὰρ ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται.

sch ran 934 —ἵνα διαβάλλῃ αὐτὸν ὡς ἄμορφον. R. V. Θ. M. οὗτος γὰρ ὡς κτηνοβάτης ἐκωμῳδεῖτο, ἢ ὡς ἀηδής. Θ. ὥσπερ σύ.

sch ran 937 R. παραπετάσμασι: ⟦ Ταῖς σκηναῖς, ⟧ τοῖς Περσικοῖς βήλοις, ⟦ ἢ βηλοθύροις.

sch ran 938 ⟧ ἐγὼ δηλονότι.

sch ran 939 R. κομπώδη οὖσαν.

sch ran 940 R. V. ἔξυσα.

sch ran 941 R. ⟦ ἐπυλλίοισιν: Ἀντὶ τοῦ λογίοις μικροῖς· ὡς δὲ βρέφος βρεφύλλιον, καὶ εἶδος εἰδύλλιον· οὕτω καὶ ἔπος ἐπύλλιον.

sch ran 942 ⟧ περιπάτοις: Εἰώθασι γὰρ οἱ κακούμενοι περιπατεῖν. ἢ ἀντὶ τοῦ διατριβαῖς. ὡς ἐπὶ ἀσθενοῦντος δὲ διαλέγεται. ⟦ ἐκ μεταφορᾶς τῶν λεπτυνομένων σωμάτων διὰ τῆς καθάρσεως. ⟧ ⟦ τευτλίοισι: Εἰώθασιν οἱ τῶν ἰατρῶν παῖδες τὰς τῶν σωμάτων καθάρσεις διὰ περιπάτων καὶ τεύτλων λευκῶν καὶ ἑτέρων ποτῶν ποιεῖσθαι. τὸ δὲ ἐπυλλίοις ἀντὶ τοῦ λογίοις μικροῖς. Cant.1. 2. μικροῖς: Γράφεται λευκοῖς. ⟧ χυλὸν διδοὺς: Οὐκ ἀπὸ πτισάνης, ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

sch ran 943 ⟦ γράφεται δὲ καὶ ἀπηθῶν, ἀντὶ τοῦ ἐκλεγόμενος. μονῳδίαις δὲ, γυμνάσμασι μονῳδικοῖς. ⟧ Κηφισοφῶντα: Ὅτι ἐδόκει δοῦλος ὢν ὁ Κηφισοφῶν συμπονεῖν αὐτῷ, καὶ μάλιστα τὰ μέλη, ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν.

sch ran 944 (ἕτερος δέ ἐστι Κηφισοφῶν ὁ καὶ τὸ ψήφισμα εἰσενεγκὼν ὑπὲρ τοῦ εἰρχθῆναι τῆς ἐν πρυτανείῳ σιτήσεως.) τὴν ὑπόθεσιν.

sch ran 946 R. [ἢ τὸ σαυτοῦ: Ὅτι δυσγενὴς ὁ Εὐριπίδης.

sch ran 947 ἐπῶν δὲ, τῶν ἰαμβείων. ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν.] ⟦ ἀργόν: Ὥσπερ σὺ τὴν Νιόβην καὶ τὸν Ἀχιλλέα ἐποίησας μηδὲν λέγοντας.

sch ran 948 ⟧ ἡ γυνή τέ μοι χὠ δοῦλος: Ἀντὶ τοῦ τὰ αὐτά.

sch ran 949 καὶ εἰς τοῦτο κωμῳδεῖται ὁ Εὐριπίδης, ὅτι διαφόροις τοῖς προσώποις ἀνοικείους λόγους περιτίθησιν. ὅτι καὶ παρθένος ἐν τραγῳδίαις λέγει.

sch ran 950 R. V. ⟦ ταῦτα: Τὸ τοὺς δούλους τοῖς δεσπόταις ἰσοτίμους ποιεῖν.

sch ran 951 ⟧ δημοκρατικὸν: Τὰ περὶ δημοκρατίας καὶ ἰσότητος, φησὶν, ἔασον.

sch ran 952 ἐμὸν γάρ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν. παρόσον ἡσυχίας καὶ εἰρήνης ὁ θεὸς αἴτιος. (ἔασον οὖν ὦ τᾶν· ὀρθῶς γάρ σου κατηγορεῖ ἐπὶ τῇ πάντων ἀδολεσχίᾳ ὁ Αἰσχύλος, καὶ οὐκ ἂν ἔχοις ἐμπεριπατῆσαι οὐδὲ ἐπαινέσαι σεαυτὸν ἐπὶ τούτῳ.) ⟦ Ἄλλως. οὐ δεῖ σε, φησὶ, ζητεῖν ὅπως ἂν ἀποδείξῃς ὡς κάλλιστα τοῦτο ἐποίεις. οὐ γὰρ καλὸν ἐξ ἴσου τοὺς δούλους τοῖς δεσπόταις παρρησιάζεσθαι. περίπατος δὲ διατριβή. ⟧ τοὺς ἐν δράματι.

sch ran 954 R. γωνιασμοὺς: Πλαγιασμοὺς, ἀπάτας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 956 καχυποτοπεῖσθαι δὲ, ἀντὶ τοῦ κακὰ ὑπονοεῖν, ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. —ἀποφυγὰς καὶ ἀπαγωγάς. R. M. κάχ’ ὑποτοπεῖσθαι: Τὸ τέλειον κακὰ ὑπονοεῖν.

sch ran 958 R. V. ὑπονοεῖν, ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. E. εἰ κακῶς ἔλεγον.

sch ran 960 R. V. οὐκ ἐκομπολάκουν: Κενοὺς οὐκ ἐποίουν ψόφους.

sch ran 961 οὐκ ἔλεγον κομπώδη ὡς ὁ Αἰσχύλος. —ἐμεγαλορρημόνουν. Θ. ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας: Οὐ τὴν φρόνησιν αὐτῶν ἀφειλόμην, ἀπὸ τοῦ φρονεῖν καὶ συνεῖναι τὸ λεγόμενον ἀποσπάσας αὐτούς.

sch ran 963 ⟦ Κύκνους: Ὅτι δύο Κύκνοι ἐγένοντο· ὁ μὲν Ἄρεος υἱὸς, ὁ ὑφ’ Ἡρακλέους φονευθεὶς, ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος, ὁ δὲ Ποσειδῶνος, ὁ ὑπ’ Ἀχιλλέως· ὡς καὶ Πίνδαρος ἱστορεῖ. ⟧ κωδωνοφαλαροπώλους: Ἀπολλώνιός φησιν ὅτι παρήνεγκε χρωμένους κώδωσί τινας. ⟦ κώδωνας ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων ἔχοντας. ⟧ Φορμίσιος: Δίδυμός φησιν ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων καὶ φοβερὸς δοκῶν εἶναι.

sch ran 965 διὸ καὶ Αἰσχύλου μαθητὴν αὐτόν φησιν εἶναι. βαθὺς δὲ ἦν καὶ καθίει τὸν πώγωνα. κωμῳδεῖται δὲ καὶ εἰς δωροδοκίαν. Μεγαίνετός θ’ ὁ Μάνης: Ὁ Μεγαίνετος, ὅτι οὐ πάντως βάρβαρος, ἀλλ’ ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ οὗτος καὶ τῶν στρατηγιώντων ἐστὶ καὶ ἄλλως θρασύς. τινὲς δὲ δούλων ὀνόματα. —Μεγαίνετός θ’ ὁ Μάγνης: Ἀμφότεροι βάρβαροι. A. σαλπιγγολογχυπηνάδαι: Σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες.

sch ran 966 τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀποτείνει—ὡς μέγαν ἔχοντα πώγωνα. εἶπε δὲ συνθέτως τὸ μὲν ἀπὸ τοῦ πολέμου, τὸ δὲ ἀπὸ τοῦ πώγωνος. R. V. Θ. M. σαρκασμοπιτυοκάμπται: Ὡς σαρκάζοντας μὲν καὶ προσποιουμένους τὰ πολεμικὰ, οὐκ ἀληθῶς δὲ τοιούτους· ἰσχύος δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαίνετον Μάνην εἶπεν, οὐ πάντως βάρβαρον, ἀλλ’ ἀναίσθητον. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις διὰ τὸ Αἰσχύλου ἦθος. —ἀντὶ τοῦ μεγάλαι. R. V. ⟦ Ἄλλως. σαρκασμοπιτυοκάμπτης συνετέθη παρὰ τὸ σαρκασμὸς καὶ τὸ πίτυς καὶ τὸ κάμπτω. ἔστι δὲ σαρκασμὸς εἰρωνεία δακνηρὰ καὶ βαρύτης, ὅθεν καὶ τὴν κλῆσιν ἔχει ὡς οἷά τι θηρίον σαρκὶ ἐμφυέν. ἄλλοι δὲ σαρκασμοὺς νοοῦσι τοὺς μαλακοὺς καὶ φθορεῖς ἀπὸ τοῦ τὰς σάρκας κάμπτειν, ἤτοι συνθλίβειν δίκην πίτυος. ἔστι δὲ καὶ πιτυοκάμπτης φάρμακον φθοροποιὸν, ὡς ἐν τοῖς νόμοις εὕρηται. Victor. βυκινοκονταρογέναι. μαλακοὶ καὶ φθορεῖς. Θ. ⟧ Θηραμένης: Ὡς ἀστεῖος (καὶ πιθανὸς), Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο.

sch ran 967 νῦν δὲ ὡς παλίμβολον καὶ πανοῦργον βούλεται τοῦτον ἀποδεῖξαι, καὶ παραπλήσιον Θηραμένει. —ὁ ἀστεῖος. R. οὐ Χῖος, ἀλλὰ Κῖος: (Ὅτι δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ, Ἄγνωνος αὐτὸν ποιησαμένου, ὡς Εὔπολις Πόλεσιν.

sch ran 970 Ἀρίσταρχος δὲ ὡς γεγραμμένου Κῷος ἐξηγεῖται· ὅτι πρὸς τὸ Κῷος εἰσήγαγε τὸ Χῖος. τὸν γὰρ ἀντίστροφον τῷ Χίῳ λέγεσθαι.) τοῦτο οὖν φησιν, ὅτι οὐδέποτε κακοβολεῖ ὁ Θηραμένης ὡς ἐν ἀστραγάλοις, ἀλλ’ ἐπιτυγχάνει. ἐπιπλήττει δὲ αὐτῷ ὁ Δημήτριος, ὡς τελέως ἀγνοοῦντι ὅτι Κῖος ἦν. (παραλείπει δὲ ὅμως καὶ αὐτὸς ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται ἀντὶ τοῦ Κῷος Κῖος. Δίδυμος δέ φησιν ὅτι δύναται καὶ τῆς παροιμίας μεμνῆσθαι, οὐ Χῖος, ἀλλὰ Κῖος, παρόσον ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοὺς καιροὺς, πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. Κῷος δὲ ἐλέγετο εἶναι.) τοιαῦτα μέντοι ’γὼ φρονεῖν: Τὸ πλῆρες μέντοι ἐγώ.

sch ran 971 ⟦ εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένη, ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων κα′. εἰσὶ δὲ τῆς μὲν πρώτης περιόδου κῶλα θ′, τῆς δὲ δευτέρας κῶλα δυοκαίδεκα. ἧς τὰ η′, ια′, ιβ′, καταληκτικά εἰσιν. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος, τῆς δὲ δευτέρας δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. ⟧ τῇ τραγῳδίᾳ.

sch ran 973

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R. V. διαγινώσκειν.

sch ran 974 R. V. καὶ τὰς οἰκίας: Προσέχειν τῇ οἰκίᾳ καὶ οὐ πολέμοις.

sch ran 980 ἐκ τῆς λεπτολογίας Εὐριπίδου μεμαθηκὼς καὶ πεπαιδευμένος. R. V. ποῦ ’στιν ἡ χύτρα: Ταῦτα πάντα μικροπρεπείας παραδείγματα.

sch ran 985 τὸ πινάκιον. οἱ δέ φασι τὸ σαλτζάριον. Θ. τέθνηκέ μοι: Ἀντὶ τοῦ κέκλασται, (ἢ ἀπώλετο.

sch ran 986 πρὸς τὰς λέξεις Εὐριπίδου). τῆς ἐλάας: Μέχρι καὶ τῶν εὐτελῶν ἐρωτῶσιν.

sch ran 988 (ἐλάα δὲ ὁ καρπὸς τῆς ἐλαίας. καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται.) Μαμμάκυθοι: (Ἀρίσταρχός φησιν ὠνοματοπεποιῆσθαι.

sch ran 990 πῶς οὖν, Δημήτριός φησιν, εἰ μὴ σύνηθες αὐτοῖς τὸ ὄνομα, οὗ καὶ δρᾶμα ὅλον οὕτως ἐπιγέγραπται Μαμμάκουθοι; ὅ τινες Πλάτωνος λέγουσιν. Ἄλλως.) ἀντὶ τοῦ μαμμόθρεπτοι. Δίδυμος, ὅτι Μαμμάκυθος καὶ Μελητίδης ἐπὶ μωρίᾳ διεβέβληντο, καθάπερ καὶ ὁ Βουταλίων καὶ ὁ Κόροιβος. (Μελιτίδην δὲ, τὸν εὐήθη· παρὰ τὸ μέλι. ἢ καὶ γέγονέ τις οὕτω μωρός.) τάδε μὲν λεύσεις φαίδιμ’: ⟦ Κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς, ἐκ κώλων ιγ′.

sch ran 992 ὧν τὸ α′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β′ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, τὰ γ′, ς′, ιγ′ τροχαϊκὰ ἑφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα καὶ δίμετρα, πλὴν τοῦ μονομέτρου παρατελεύτου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις, ὧν τελευταῖον καὶ μινθῶσαι τὸν ξύσσιτον κἀκβάς τινα λωποδυτῆσαι. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδικῆς κορωνίς· τῶν δὲ τετραμέτρων διπλῆ ἔξω νενευκυῖα. ⟧ πρὸς τὸν Αἰσχύλον ὁ χορὸς ἀπὸ τῶν αὐτοῦ. ἔστι δὲ ἀρχὴ αὕτη Μυρμιδόνων Αἰσχύλου. τοῦτο δὲ παρὰ τὴν ὑπόνοιαν. ἐκτὸς οἴσει: (Ἀντὶ τοῦ, ἐκτὸς τῶν ὡρισμένων λόγων.

sch ran 995 ) ἐμφαίνει δέ τι ὡρισμένον λέγειν, καὶ μάλιστα ὡς ἐπ’ ἄκρου ἱπποδρόμου ἐλαῖαι ἦσαν, καθ’ ἃς ἐξεφέροντο οἱ ὑποπίπτοντες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν, ἐκτὸς τοῦ προκειμένου. ἢ ἐπεὶ εἶπεν ὁ Διόνυσος τίς τῆς ἐλάας παρέτραγεν; παρὰ τὸ παρέτραγε παίζων ὁ χορὸς τοῦτό φησι μή ς’ ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσῃ τῶν ἐλαῶν. ⟦ Ἄλλως. ἐν τῷ τέλει τοῦ τόπου οὗ ἐτελεῖτο ὁ δρόμος, ἐλαῖαι στιχηδὸν ἵστανται, οὖσαι κατάντημα τοῦ δρόμου, καὶ οὐδεὶς ἐπέκεινα τούτων ἐχώρει. ὅστις οὖν πέρα τοῦ δέοντος ἔπραττέ τι, ἔλεγον ὡς ἐκτὸς τῶν ἐλαιῶν φέρεται. ἐπεκράτησε δὲ εἰς παροιμίαν. ⟧ — σημείωσαι δὲ ὅτι μὴ μόνον ἐλαία, ἀλλὰ καὶ ἐλάα παρὰ ποιηταῖς τε καὶ λογογράφοις εὕρηται. Cant. i. [χρώμενος τοῖς ἱστίοις: Λείπει ὁ καί.

sch ran 1000 ἔστι γὰρ, καὶ ἄκροισι χρώμενος.] ⟦ τοῦτο δὲ εἴρηκεν ἐκ μεταφορᾶς τῶν πλεόντων, οἳ, ὅταν πνεῦμα σφοδρὸν ἐμπνεύσῃ, συστέλλουσι τὰ ἱστία, ἵνα μὴ τῇ βιαίᾳ τούτου φορᾷ ἀνατραπείη τὸ σκάφος. χαλῶντες δὲ ἤδη κατὰ μικρὸν ἄγουσι τὴν ναῦν εἰς τὸ πρόσω τοῦ πλοῦ. ἄκροισι δὲ τοῖς ἐν ἄκρῳ δεχομένοις τὸ πνεῦμα καὶ μὴ κατὰ τὸ μέσον. ⟧ ἐπάξεις τὸν λόγον κατ’ αὐτοῦ.

sch ran 1001 R. V. [πυργώσας: Ἔτι ὁ χορὸς αὐξήσας καὶ μεγάλα οὖν εἰπών.

sch ran 1004 ] τραγικὸν λῆρον: (Παρ’ ὑπόνοιαν,) ἀντὶ τοῦ τέχνην.

sch ran 1005 τραγικὸν δὲ, ὅτι ἀλλήλους διαβάλλουσι κωμικοὶ καὶ τραγικοί. ἐκ χρηστῶν καὶ γενναίων: Ἀλλ’ ἀπὸ καλῶν κακοὺς καὶ αἰσχροτέρους ἐποίησας.

sch ran 1011 μοχθηροὺς δὲ, ἀντὶ τοῦ αἰσχροτέρους. (τεθνάναι· μὴ τοῦτον ἐρώτα: Οὐδὲ τοῦτο συκοφαντητέον, ὅτι νεκρὸν λέγει τεθνάναι.

sch ran 1012 ἴσως γὰρ πρὸς τὸ γελοῖον ἐπιτετήδευται.) γελοίου χάριν εἶπεν. ἤδη γὰρ ἀπέθανε. διαδρασιπολίτας: Ἀντὶ τοῦ, δειλούς.

sch ran 1014 μὴ ἀποδιδράσκοντας τὴν πολιτείαν. κοβάλους: [Ἐκ παραλλήλου κοβάλους καὶ] πανούργους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 1017 ἑπταβοείους: Ἀντὶ τοῦ μεγάλους· ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ Αἴαντος. ⟦ κρανοποιῶν: Κράνη καὶ λόφους διηγούμενος ἀφανιεῖ με τῷ πατάγῳ τῶν ὀνομάτων.

sch ran 1018 ⟧ τοὺς ἕπτ' ἐπὶ Θήβας: Οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσίν· εἶτα οἱ ἑπτὰ ἐπὶ Θήβας.

sch ran 1021 νῦν δὲ τὸ ὕστερον πρότερον εἶπε. (πλὴν οὐδὲ τῷ ποιητῇ ἐγκλητέον.) οὐδὲ γάρ ἐστιν ἀκριβῶσαι τὸ τοιοῦτον, οὐδὲ τοῖς ἀπελέγχουσιν αὐτόν. (Θηβαίους γὰρ πεποίηκας: Δῆλον ὡς οὐ φίλων ὄντων τοῖς Ἀθηναίοις τῶν Θηβαίων, ἀλλὰ διαφερομένων.

sch ran 1023 )—ἀνδρειοτέρους: Τῶν Ἀργείων, ὧν πολὺ κατὰ πόλεμον κλέος. Θ. Br. ἀλλ' ὑμῖν αὔτ' ἐξῆν: Ὑμῖν ἐξῆν τοῖς Ἀθηναίοις μιμήσασθαι [καὶ ἀσκεῖν τὰ πολεμικά].

sch ran 1025* —αὔτ': Τὰ πολεμικά. Br. οὐκ ἐπὶ τοῦτο: Ἀλλ' εἰς ἐγκλήσεις καὶ δικορραφίας· κατηγορεῖ δὲ Ἀθηναίων ἐντεῦθεν. (τοὺς Πέρσας: Αἰσχύλου δρᾶμα οὕτω καλούμενον.

sch ran 1026 τὸ δὲ εἶτα, καὶ τὸ μετὰ τοῦτο, οὐ θέλουσιν ἀκούειν πρὸς τὰς διδασκαλίας, ἀλλ' ἐν ἴσῳ τῷ καὶ τοῦτο ἐδίδαξα καὶ τὸ ἕτερον.) ἐχάρην γοῦν ἡνίκ' ἤκουσα: Ἐν τοῖς φερομένοις Αἰσχύλου Πέρσαις οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται οὔτε χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ, ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Σούσοις καὶ περίφοβός ἐστιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινός· χορὸς δὲ Περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτὴν, εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν καὶ τὴν Ξέρξου φυγήν.

sch ran 1028 (Χαῖρις δέ φησι τὸ Δαρείου ἀντὶ τοῦ Ξέρξου. σύνηθες γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. πρὸς ὅν ἐστιν εἰπεῖν ὅτι ἐν τῷ δράματι [297] λέγεται Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος. Ἡρόδικος δέ φησι διττὰς γεγονέναι τὰς καθέσεις, καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν Πλαταιαῖς μάχην. δοκοῦσι δὲ οὗτοι οἱ Πέρσαι ὑπὸ τοῦ Αἰσχύλου δεδιδάχθαι ἐν Συρακούσαις, σπουδάσαντος Ἱέρωνος, ὥς φησιν Ἐρατοσθένης ἐν γ' περὶ κωμῳδιῶν. Ἄλλως. Δίδυμος, ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. διὸ τινὲς διττὰς καθέσεις τουτέστι διδασκαλίας τῶν Περσῶν φασι, καὶ τὴν μίαν μὴ φέρεσθαι. τινὲς δὲ γράφουσι Δαρείου τοῦ Ξέρξου. οἱ δὲ ὅτι τοῖς κυρίοις ἀντὶ τῶν πατρωνυμικῶν κέχρηνται, καὶ ὅτι ὁ Ξέρξης, οἱ δὲ, ὅτι εἴδωλον Δαρείου φθέγγεται, ἐκείνου τεθνηκότος δηλονότι.) Ὀρφεὺς γὰρ τελετάς θ' ἡμῖν: Ὅτι πολλὴ δόξα κατεῖχε περὶ Ὀρφέως, ὡς τελετὰς συντετάχοι.

sch ran 1033 Μουσαῖος δὲ: Τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συνέθηκεν. ὁ δὲ Σοφοκλῆς χρησμολόγον αὐτόν φησι. Ἡσίοδος δὲ: Ὡς πρώτου ὄντος Ἡσιόδου μέμνηται. (χρήστ' ἐδίδαξε: Τινὲς συναλοιφὴν λέγουσιν.

sch ran 1035 χρηστὰ δὲ ἀντὶ τοῦ χρήσιμα.) (καὶ μὴν οὐ Παντακλέα: Διαβάλλει τὸν Παντακλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι.

sch ran 1036 μέμνηται δὲ τούτου καὶ Εὔπολις ἐν Χρυσῷ γένει «Παντακλέης σκαιός.») ἐπόμπευεν.

sch ran 1037 R. τὸ κράνος πρῶτον περιδησάμενος: Δέον ἐπιδήσαντα τὸν λόφον τότε τὸ κράνος περιθέσθαι.

sch ran 1038 καὶ Ὅμηρος [Il. Γ, 336] ἐμφαίνει τοῦτο κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν, ἵππουριν, (δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε ). ⟦ Λάμαχος ἥρως: Ὁ Λάμαχος οὗτος ἄριστος ἦν τὰ πολεμικά.

sch ran 1039 ἦν δὲ ἐπὶ τῶν χρόνων Αἰσχύλου καὶ Ἀριστοφάνους, στρατηγὸς Ἀθηναίων. μέμνηται δὲ τούτου καὶ ἐν Ἀχαρνεῦσιν. ὅθεν δὲ, ἤγουν ἐκ τοῦ Ὁμήρου. ⟧ ἀπομαξαμένη: Τὸ ἀπομαξαμένη ἀπὸ μεταφορᾶς εἴρηται τῶν σπόγγῳ ἤ τινι τοιούτῳ σώματός τινος ἰκμάδα ἀφαιρουμένων, καὶ τοῦτο νοτίδος πληρούντων, ὥσπερ ἦν ἐκεῖνο τὸ σῶμα πρότερον διάβροχον.

sch ran 1040 Vict. ἀντεκτείνειν: Ἀνταποδιδόναι, ὁμοιοῦν, ἐξισοῦν.

sch ran 1043

οὐ Φαίδρας: Διὰ τὸν Ἱππόλυτον, δρᾶμα Εὐριπίδου. Σθενέβοια δέ ἐστιν, ἣν Ὅμηρος Ἄντειαν λέγει, ἥτις ἠράσθη τοῦ Βελλεροφόντου. ⟦ οὗ μὴ ὑπακούοντος κατεψεύσατο πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον ὡς βιαζομένη. καὶ ὃς ἔπεμψε τοῦτον εἰς τὸν πενθερὸν αὐτοῦ ἀναιρεθησόμενον. ἐλθόντος οὖν ἐκεῖσε Βελλεροφόντου καὶ καθαροῦ φανέντος, μὴ φέρουσα τὴν αἰσχύνην ἡ Σθενέβοια κωνείῳ ἐχρήσατο. ⟧ ὥστε καὐτόν σε: Ἵνα διαβάλῃ τὴν γυναῖκα τοῦ Εὐριπίδου.

sch ran 1047 ⟦ τὸ δὲ ἃ γὰρ εἰς τὰς ἀλλοτρίας ἐποίεις, διπλῶς νοητέον· ἢ ὅτι τὰς τῶν ἄλλων μοιχεύων γυναῖκας καὶ αὐτὸς ὑφ’ ἑτέρων τουτὶ πέπονθας· ἢ ἃ ἐποίεις περὶ τὰς ἑτέρας, λέγω δὴ Φαίδραν καὶ Σθενέβοιαν, μοιχευομένας αὐτὰς λέγων, τούτοις ἐπλήγης. ἀντὶ τοῦ, καὶ αὐτὸς τὴν γυναῖκα μεμοίχευσαι. ⟧ — μεμοίχευσαι γὰρ τὴν γυναῖκα. Br. κώνεια πίνειν: Ὅτι πληθυντικῶς (εἶπε) κώνεια, ἕνεκα τοῦ πολλὰς εἶναι.

sch ran 1051 ἦν δὲ καὶ ἑνικῶς εἰπεῖν. τάχα μέντοι μᾶλλον πρὸς τὸ περὶ γυναικῶν ἱστορούμενον. πολλαὶ (γὰρ) τὴν Σθενέβοιαν μιμησάμεναι πιοῦσαι κώνειον ἐτελεύτησαν. τοῖς μὲν γὰρ παιδαρίοισιν: Ὁ διδάσκαλος τοῖς μικροῖς· ὁ δὲ ποιητὴς τοῖς ἡβῶσι.

sch ran 1056 ἀντὶ τοῦ χρήσιμα. R. καὶ Παρνασσῶν: Οἷον ῥήματα ὄρεσι παραπλήσια.

sch ran 1057 ὁ δὲ Λυκαβηττὸς ὄρος τῆς Ἀττικῆς, Παρνασσὸς δὲ Φωκίδος. ⟦ ἢ τὸ Λυκαβηττοὺς καὶ Παρνασσῶν μεγέθη Αἰσχύλος ἔν τινι τῶν αὐτοῦ πεποίηκε δραμάτων. ἔστι δὲ Λυκαβηττὸς ὄρος Ἀθηναίων. ⟧ συμμέτρως.

sch ran 1058 R. μετρίως. V. (γνωμῶν καὶ διανοιῶν: Σημειωτέον ὅτι πρὸς γενικὴν ἔταξε τὸ ἴσα.

sch ran 1059 ) ἀξιοπιστοτέροις.

sch ran 1060 R. ἃ ’μου χρηστῶς: ⟦ Τὸ λέγειν τοὺς ἥρωας μείζω ῥήματα, καὶ πρὸς τὰς μεγίστας διανοίας καὶ τοὺς λόγους τοιούτους προάγειν.

sch ran 1062 ⟧ —ἅπερ ῥήματα. Venet. ῥάκι’ ἀμπίσχων: Διὰ Οἰνέα καὶ Τήλεφον καὶ τοὺς ἄλλους.

sch ran 1066 περιειλλόμενος: Ἀντὶ τοῦ περιειληθεὶς ἢ συστραφείς. εἴλλειν γὰρ τὸ συστρέφειν. οὔλων ἐρίων: Ὁ Διόνυσός φησιν, οἷον ἐνδεδυμένος ἔνδοθεν ἐρίων χιτῶνα.

sch ran 1067 περιείληται γὰρ ῥάκη προσποιούμενος εἶναι πένης. —λείπει τὸ πένεσθαι. Rav. παρὰ τοὺς ἰχθῦς ἀνέκυψε: Ἀντὶ τοῦ παρὰ τὰ ἰχθυοπώλια.

sch ran 1068 τὸ δὲ τοιοῦτον Ἀττικόν. Εὔπολις περιῆλθον ἐς τὰ σκόροδα καὶ τὰ κρόμμυα. φησὶν (οὖν) ὅτι ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια ἀγορασείων· ἀντὶ τοῦ τρυφῶν εὑρίσκεται. (στωμυλίαν: Σκώμματα, κολακείαν, πανουργίαν.

sch ran 1069 ) τῶν μειρακίων στωμυλλομένων: Ἄπειροι οὗτοι ἐκκλησίας φησὶν οὖν ὑπὸ Εὐριπίδου διατραφέντας ἐπὶ τὸ λέγειν ὁρμῆσαι.

sch ran 1071 παράλους δὲ τοὺς κωπηλάτας. Πάραλος γὰρ καὶ Σαλαμινία τριήρεις εἰρηναρχικαί. κοινῶς δὲ παράλους τοὺς ἐκ τῶν τριήρων ναύτας. οὐ γὰρ ἴδιόν τι λέγοι ἂν περὶ τῆς παράλου τριήρους νεώς. ἄτιμοι δὲ οὗτοι ἦσαν. ῥυππαπαὶ: Ἐπίφθεγμα ναυτικὸν, παρασκευαστικὸν κωπηλασίας τὸ ῥυπαπαῖ.

sch ran 1073 —ἐπιφώνημα ναυτικόν. Br. τῷ θαλάμακι: τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους.

sch ran 1074 οἱ δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν, διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλον εἰσιν ἐγγὺς τοῦ ὕδατος. (ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετῶν· καὶ ἡ μὲν κάτω, θαλαμῖται, ἡ δὲ μέση ζυγῖται, ἡ δὲ ἄνω θρανῖται. θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης ὁ μέσος· θαλάμιος ὁ πρὸς τὴν πρῴραν. καὶ θαλαμία ὀπὴ, δι’ ἧς ἐξέρχεται ἡ κώπη. οἷον οὖν παρὰ τῷ συγκαθέδρῳ παρδεῖν.) (μινθῶσαι: Διοσφρᾶναι, δυσοσμίας ἀναπλῆσαι, μιᾶναι, ῥυπῶσαι.

sch ran 1075

μίνθη δὲ τὸ παρ’ ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον.) ⟦ ἢ κόπρον αἰγῶν. ⟧ ⟦ νῦν δ’ ἀντιλέγει: Εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένης ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κγʹ.

sch ran 1076 ὧν τὰ μὲν πρῶτα δύο κῶλα δίμετρα ὄντα ἀκατάληκτα τῇ διπλῇ συνάπτεται. τῆς δὲ πρώτης περιόδου εἰσὶ κῶλα ιαʹ ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἑφθημιμεροῦς. ὁμοίως δὲ καὶ τὰ τῆς δευτέρας ἔχει. τὸ μέντοι παρατέλευτον ἀναπαιστική ἐστι βάσις. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος, τῆς δὲ δευτέρας δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. ⟧ ἀντιλέγει ὁ πάραλος καὶ οὐ κωπηλατεῖ. R. ⟦ καὶ τικτούσας: Ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν ἱερῷ.

sch ran 1080 ⟧ [τοῖσιν ἀδελφοῖς: Ὡς αἱ τοῦ Αἰόλου θυγατέρες.

sch ran 1081 ] καὶ φασκούσας οὐ ζῆν: Ἔστι μὲν παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου τίς δ’ οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν; ἀλλ’ ὁ λέγων ἐστὶ Φρίξος, οὗτος δὲ ὡς παρὰ γυναικὸς εἰρημένον αὐτὸ λέγει.

sch ran 1082 (ἰδεῖν οὖν χρὴ, μήποτε τὸν αὐτὸν νοῦν παρ’ Εὐριπίδῃ γυνὴ λέγῃ, καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ λεγόμενον ἀλλ’ ὅ τι τούτου φίλτρον ἄλλο, σκότος ἀμπίσχον κρύπτει νεφέλαις καὶ τὰ ἑξῆς.) ἀνεμεστώθη: Ἀνεπληρώθη τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι.

sch ran 1084 ἢ καὶ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. «ὄλεθρος γραμματεὺς συκοφαντῶν.» ⟦ Ἄλλως. ἐπειδὴ ἀφέντες τὰ γενναῖα πράγματα φορολόγοι γεγένηνται· οἱ δὲ μετιόντες τὸν λόγον κέρδους ἕνεκα τούτοις εἵποντο. δημοπιθήκους δὲ τοὺς πανούργους περὶ τὸν δῆμον, ὡς τὸ ζῷον ὁ πίθηκος. ἢ τοὺς τὸν δῆμον κολακεύοντας καὶ πείθοντας. ⟧ λαμπάδα δ’ οὐδεὶς: (Ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ἡφαιστείοις καὶ Παναθηναίοις.

sch ran 1087 ) ἐν Ἀθήναις ἐστὶ γυμνάσιον, ἐν ᾧ ἐλαμπαδηφόρουν οἱ γυμναζόμενοι. ὅτι τῆς λαμπάδος ἀγὼν Ἀθήνησιν ἤγετο, Προμήθεια, Ἡφαίστεια, Παναθήναια. [ἀπεφαυάνθην: Ἐξηράνθην.

sch ran 1089 ] ἐν ἑνὶ λευκοπίων ἀντὶ τοῦ λιπαρός.

sch ran 1092 ἀντὶ τοῦ ὀπίσω ὤν. R. κᾆθ’ οἱ Κεραμῆς: (Οἱ τὸν Κεραμεικὸν οἰκοῦντες.

sch ran 1093 ) δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. (καὶ ἐν Πλούτῳ πρώτῳ «τῶν λαμπαδηφόρων τε πλεῖ«στον αἰτίαν τοῖς ὑστάτοις πλατειῶν.» τοῦτο δέ φησιν Εὐφρόνιος, ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί· καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί. ἐμφαίνεται δὲ ἀπὸ τούτων ὅτι παρὰ τοῖς Κεραμεικοῖς τοῦτο μάλιστα γίνεται.) πύλαις δὲ ταῖς εἰσόδοις (τοῦ ἀγῶνος). —ταῖς εἰσόδοις τοῦ δρόμου. Θ. ταῖς πλατείαις: (Ταῖς πλατείαις) χερσὶ δηλονότι.

sch ran 1096 ἢ μάστιξιν. ἢ οὕτω λεγομέναις Κεραμεικαῖς πληγαῖς πλατείαις. ἀνεχώρει καὶ ἔφευγεν.

sch ran 1098 R. ⟦ μέγα τὸ πρᾶγμα: Ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφὴ κώλων ἐστὶν ἑκατέρα δέκα ἐπιμεμιγμένων τριβράχεσιν· ὧν τὰ αʹ, δʹ, ςʹ, ιʹ τροχαϊκὰ τετράμετρα καταληκτικά· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα.

sch ran 1099 τὸ μέντοι ζ τῆς στροφῆς ἀναπαιστικὸν πενθημιμερὲς, καὶ τὸ ἑξῆς δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος· τῆς δὲ ἀντιστροφῆς κορωνίς. ⟧ διακρίνειν.

sch ran 1100 R. V. Θ. φιλονεικήσῃ.

sch ran 1011 R. V. ἀντιλέγειν.

sch ran 1102 R. V. σαφῶς, ἀκριβῶς. R. μὴ ’ν ταὐτῷ κάθησθον: Ἀντὶ τοῦ μὴ ἐν τῷ αὐτῷ τόπῳ καὶ λόγῳ καὶ τρόπῳ τὰς ἀντιλογίας ποιεῖσθε.

sch ran 1104 εἰσβολαὶ: Ἀφορμαὶ, ἀρχαὶ, φιλονεικίαι, εἴσοδοι. ἐπέρχεσθε, ἐπιπορεύεσθε.

sch ran 1106

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R. V. ἀναδέρετον: Ἀνακαλύπτετε. C. D. ἀνακαλύπτετε, καὶ εἰς τὸ μέσον προφέρετε. E. Cant. i. κἀποκινδυνεύετον: Κινδυνεύοντες λέγετε, τουτέστι τολμῶντες.

sch ran 1112 [οὐκ ἔθ’ οὕτω: Ὡς τῶν Ἀθηναίων οὐχ ὁμοίως πρότερον γεγυμνασμένων ἐν τοῖς ποιητικοῖς σοφίσμασιν.] τὰ δεξιὰ: Δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἐπαίνου ἀξίους· τοὺς δὲ διαδιδράσκοντας τὰς στρατείας φιλοδίκους εἶναι καὶ συκοφάντας.

sch ran 1114 ἢ τὸ ἐναντίον, ἵνα ᾖ, πάντες οἱ ἀμαθεῖς ἔξω ἐστρατευμένοι εἰσίν. [ἐν εἰρωνείᾳ δεξιά.] παρηκόνηνται: Παρωξυμμένοι εἰσὶν οἱ θεαταὶ (δηλονότι).

sch ran 1116 ⟦ ἐκ μεταφορᾶς τῶν ξιφῶν, ἅπερ ἀκονῶσιν εἰς μάχην ἐρχόμενοι οἱ ἄνθρωποι. οἰκειοῦται δὲ ἐνταῦθα ὁ Ἀριστοφάνης τοὺς θεατάς. ⟧ ⟦ καὶ μὴν ἐπ’ αὐτοὺς: Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν.

sch ran 1119 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλβʹ. ὧν τελευταῖος μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ’ ἀεί. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ —εἰς τὰ προοίμια δηλονότι. ὁ γὰρ πρόλογος μέρος πρῶτον τῆς τραγῳδίας. R. τοῦ δεξιοῦ: (Ἀντὶ τοῦ ἐπιδεξίου.

sch ran 1121 ) ἐν εἰρωνείᾳ δὲ τοῦτό φησι. γράφεται καὶ ῥημάτων.

sch ran 1122 R. (ἐξ Ὀρεστίας: Τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν.

sch ran 1124 Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τῶν σατυρικῶν.) πατρῷ’ ἐποπτεύων: Τὸ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν.

sch ran 1126 ἤτοι γὰρ τοῦ ἐμοῦ πατρὸς Ὀρέστης φησὶν, ἢ τὰ καθ’ Ἅιδου λέγει πατρῷα κράτη τοῦ Ἑρμοῦ, καθ’ ὃ καὶ χθόνιος ὁ Ἑρμῆς, ⟦ ὁ ἐκ πατρὸς ἔχων τὰς ἐν τῷ κόσμῳ βασιλείας ἐπιτηρεῖν. δέον δὲ εἰπεῖν πατρόθεν, πατρῷα εἶπε πρὸς τὸ κράτη. δῆλον δὲ ἐκ τοῦ, «πατρῷον τοῦτο κέκτηται γέρας.» ⟧ ⟦ σωτὴρ γενοῦ μοι: Ἐπὶ τοῦ παρόντος ἀγῶνος, ὃν ἀγωνίζομαι, θέλων τιμωρῆσαι τῷ πατρί.

sch ran 1127 ⟧ (ἀλλ’ ἢ τρία: Ἔξωθεν προσληπτέον τὸ ἔπη, ἢ ἰαμβεῖα.

sch ran 1130 ) ⟦ προσοφείλων: Χρεωστῶν αὐτῷ καὶ ἑτέραν μέμψιν πρὸς τῇ προτέρᾳ, ἢ τιμωρηθῆναι.

sch ran 1133 ⟧ ὁρᾷς ὅτι ληρεῖς: Ὁ Αἰσχύλος φησὶ πρὸς τὸν Διόνυσον, ὡς ἀπατώμενον ὑπὸ Εὐριπίδου.

sch ran 1136 διὸ ἐπιφέρει Διόνυσος, «ἀλλ’ ὀλίγον γέ μοι μέλει.» ἀλλ’ ὀλίγον γέ μοι: Οὐ μέλει μοι ὑβριζομένῳ, ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω, φησὶ, κἂν λέγῃς ὅτι ἥμαρτεν. ⟦ οὐ δῆτ’ ἐκεῖνον: Τὸν δόλιον δηλονότι, ἀλλὰ τὸν Ἐριούνιον.

sch ran 1144 ⟧ πρὸς τὴν ἐκδοχὴν τοῦ Ἐριουνίου, ὅτι οὐκ ὀρθῶς. (Ἀρίσταρχος δέ φησι τῶν ἐξηγήσεων τοῦ στίχου τὴν προτέραν κατὰ τὸν ποιητὴν εἶναι, ἣν ὁ Εὐριπίδης ἔφη. τὰ τοῦ ἐμοῦ πατρὸς κράτη ἐποπτεύων, ὃς κρατηθεὶς ὑπὸ τῶν περὶ Αἴγισθον ἀπώλετο.) τοῦτο κέκτηται: Τὸ εἶναι χθόνιον, ὡς νῦν ὁ πατήρ.

sch ran 1146 ⟦ ἢ ⟧ τὸ ἐποπτεύειν τὰ ὑποχθόνια. οὕτω γ’ ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος: Οἷον τυμβωρύχου πατρός.

sch ran 1149 ⟦ ἐπειδὴ ὁ χθόνιος λέγεται μὲν καὶ ὁ γήϊνος· λέγεται δὲ καὶ ὁ ὑπὸ γῆν· τὰ δ’ ὑπὸ γῆν οἱ κλέπται ζητοῦσι. ⟧ τοῦτο ὁ Διόνυσος λέγει, ὑποτεμνόμενος τὸν Εὐριπίδου λόγον, διὰ τὸ ὑπερσπεύδειν, ὡς καὶ Ἀρίσταρχός φησιν. οὕτω γὰρ εἰκότως Αἰσχύλος ἐπήγαγε Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν. Διόνυσε πίνεις οἶνον: (Οἷον κραιπαλᾷς [ἱκανῶς] καὶ ληρεῖς, σκληρὸν οἶνον πιὼν, ἀλλ’ οὐχ ἡδὺν οὐδὲ ἁπαλόν.

sch ran 1150 ) οἷον, μεθύεις· ἵνα μὴ κατ’ ἐρώτησιν λέγῃ, ἀλλ’ ἐν ἀποφάνσει. (ἀνθοσμίας δὲ ὁ εὐώδης, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. καὶ γέγονε παράγωγον ἀνθόσμιος καὶ ἀνθοσμίας.) ⟦ ἢ

οὕτως· ἃ οὐκ ἀποδέχῃ ἀκούεις· φληνάφους φημὶ καὶ λόγους ἀπρεπεῖς. ⟧ σὺ δ’ ἐπιτήρει τὸ βλάβος: (Ὧι βλάψεις αὐτὸν ἐν τῇ κατηγορίᾳ, ἢ) τὸ ἁμάρτημα.

sch ran 1154 τὸ ἥκω, φησὶ, ταυτόν ἐστι τῷ κατέρχομαι. R. V. μάκτραν, εἰ δὲ βούλει, κάρδοπον: (Εἴρηται ἐν τοῖς πρόσθεν ὅτι τοῦτο ἀρχαιότερόν ἐστι τὸ τὰς μεταλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν.

sch ran 1159 Πλάτων Ποιητῇ «ὁρᾶτε τὸ διῆρες ὑπερῷον.») ⟦ ὡς τὸ παρ’ Ὁμήρῳ [Il. Λ, 163] Ἕκτορα δ’ ἐκ βελέων ὕπαγε Ζεὺς, ἔκ τε κονίης, ἔκ τ’ ἀνδροκτασίης ἔκ θ’ αἵματος ἔκ τε κυδοιμοῦ. καὶ τὸ [Il. Η, 279] μηκέτι παῖδε φίλω πολεμίζετε, μηδὲ μάχεσθον, πρὸς Ἕκτορα καὶ Αἴαντα μονομαχοῦντας ἀπὸ τοῦ Ἰδαίου κήρυκος εἰρημένον. καὶ τὸ [Od. Υ, 241] μνηστῆρες δ’ ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε ἤρτυον. καὶ τὸ [Il. Β, 8] «βάσκ’ ἴθι οὖλε Ὄνειρε·» καὶ «βάσκ’ ἴθι Ἶρι ταχεῖα.» ⟧ ταῦτ’: Οὕτως.

sch ran 1162 κατὰ τί λέγεις διαφορὰν ἔχειν. R. V. (ἐλθεῖν μὲν εἰς γῆν: Ἐλθεῖν μὲν εἰς τὴν πόλιν, ὅταν μετῇ τινι τῆς πατρίδος, ὅταν δὲ φυγὰς ἔλθῃ, τότε καὶ κατέρχεται.

sch ran 1163 ἰδίως δὲ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ κατέρχεται.) —ᾧ ἐξουσία ἐστὶ τῆς πατρίδος. R. V. οὐ πιθὼν: Διὰ τοῦ ι γραπτέον καὶ ὀξυτονητέον τὸ πιθών, ἵνα ᾖ δευτέρου ἀορίστου καὶ μέλλοντος.

sch ran 1168 ⟦ τοῦτο δὲ ὅτι οἱ τὰς διώξεις ποιοῦντες οἱ αὐτοὶ τοὺς ὑπομείναντας ἐπανάγουσι. ⟧ σὺ δ’ ἐς τὸ κακὸν: Ἀντὶ τοῦ παρατήρει τὸ κακῶς λεγόμενον.

sch ran 1171 (τὸ δὲ, τύμβου δ’ ἐπ’ ὄχθῳ, τὰ ἑξῆς τοῦ προλόγου.) ἐξικνούμεθα: Ἀντὶ τοῦ ἀκουόμεθα, ⟦ εἰσακουσθῆναι δυνάμεθα ⟧ .

sch ran 1176 —παραγινόμεθα. V. κἄν που δὶς εἴπω ταυτὸν: Κἄν τι ἐλάχιστον ῥῆμα ἢ περισσὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ.

sch ran 1178 ἀπὸ τῆς στοιβῆς τῶν φορτίων. στοιβὴν: Σωρείαν λέξεων ἐνοῦσαν ἔξω τοῦ πρέποντος, παρὰ τὸ πρέπον. Br. οὐ γὰρ μοὐστίν: Γνῶναι πρὸ τοῦ ἀκοῦσαι.

sch ran 1180 Br. ἀντὶ τοῦ πάνυ γάρ. R. ἦν Οἰδίπους: Ἐξ Ἀντιγόνης Εὐριπίδου.

sch ran 1182 [ἔστι δὲ ἀρχὴ τοῦ δράματος.] ἀποκτενεῖν τὸν πατέρα: [Παρὰ τὰ Εὐριπίδου] ἐν Φοινίσσαις [18] εἰρημένα περὶ Οἰδίποδος καὶ Λαΐου.

sch ran 1185 (καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει.) ⟦ πρὶν καὶ γεγονέναι: Ἢ τὸ φῦναι καὶ γεγονέναι ἐκ παραλλήλου ἐστίν· ἢ σύναπτε τὸ φῦναι πρὸς τὸ ἔφη· τὸ δὲ γεγονέναι πρὸς τὸ ἀποκτενεῖν. εἰ δέ τις εἴποι ὡς μετὰ τὸ γεννηθῆναι καὶ εἰς ἀνδρὸς ἡλικίαν ἐλθεῖν τοῦτον ἀπέκτεινεν, ἐροῦμεν ὅτι ἐξ οὗ ἐσπάρη μετὰ τῶν ἀνῃρημένων ἦν ὁ Λάϊος. τὸ δὲ ἐπαύσατο οὐκ ἐπὶ τοῦ ἀεὶ δυστυχοῦντος, ἀλλ’ ἐπὶ τοῦ πρόσθεν μὲν εὐδαιμονοῦντος, ὕστερον δὲ προσκεκρουκότος τῇ τύχῃ. ⟧ χειμῶνος ὄντος: Τοῦτο ἔχει διασκευὴν παρ’ αὐτῷ, τὸ χειμῶνος ὄντος.

sch ran 1190 τὸ δὲ ἐν ὀστράκῳ, ἐπεὶ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία. διὸ καὶ χυτρίζειν ἔλεγον. ⟦ ἤρρησε δὲ ἀπὸ τοῦ ἐρρεῖν τοῦ σημαίνοντος τὸ μετὰ φθορᾶς ἐλθεῖν. ⟧ —ἤρρησεν: Μετὰ φθορᾶς ἦλθεν. Br. μετ’ Ἐρασινίδου: (Εἷς) τῶν περὶ Ἀργέννουσαν στρατηγησάντων δυστυχῶς.

sch ran 1196 ἀπέθανε δὲ δημοσίᾳ, οὗτός τε καὶ οἱ ὑπομείναντες, Θράσυλλος, Περικλῆς, Λυσίας, Ἀριστοκράτης, Διομέδων, ὥς φησι Φιλόχορος. (Δημήτριος δέ φησι, περιττότερόν τι γενέσθαι τῷ Ἐρασινίδῃ, τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων.) ξέσω, δοκιμάσω.

sch ran 1198 R. ποεῖς γὰρ οὕτως: Οὕτω γὰρ τοὺς λόγους ποιεῖς ὡς πάντα προσδέχεσθαι.

sch ran 1202 (ὅτι μικροπρεπὲς τὸ κωδάριον. οὐχ οὕτω δὲ θύλακον· ἀλλ’ ἐάν τις ποιήσῃ θυλάκιον, ἐγχωρεῖ). (Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος: Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχὴ, ὥς τινες ψευδῶς.

sch ran 1206

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος. οὐ γάρ ἐστι, φησὶν Ἀρίσταρχος, τοῦ Ἀρχελάου, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον, ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε.) Διόνυσος, ὅς: Ὑψιπύλης ἡ ἀρχή.

sch ran 1211 ⟦ κάθαπτος δὲ ἀντὶ τοῦ πυρφόρος, φωτεινὸς, διὰ τὰς δᾷδας. Ἄλλως. ⟧ (κάθαπτος: Τιμαχίδας, ὡς ταρακτὸς, καθειμένος. τὸ δὲ ἑτέρως λεγόμενον δηλοῖ τὸ οἷον καθάπτεσθαι.) (πηδᾷ χορεύων: Προσήρτησε τὸ, ληκύθιον ἀπώλεσεν.

sch ran 1213 τὸ δὲ λοιπὸν τοῦ ἰάμβου «παρθένοις σὺν Δελφίσιν.») ἢ δυσγενὴς ὢν: Τὸ λοιπὸν τοῦ ἰάμβου «πλου«σίαν ἀροῖ πλάκα.

sch ran 1219 » (Σθενεβοίας δὲ ἡ ἀρχή. διαβάλλει δὲ τὴν ὁμοειδίαν τῶν εἰσβολῶν τῶν δραμάτων.) ⟦ ὑφέσθαι δὲ, ⟧ ὑποχωρῆσαι, εἶξαι. ⟦ ὑποχαλάσαι, ἐνδοῦναι. ⟧ ὡς ἐπὶ ἀνέμου σφοδροῦ λέγει.

sch ran 1220 R. τὸ λέγειν τὸ ληκύθιον.

sch ran 1223 R. ⟦ κἀπέχου: Τουτέστι, σκόπει μὴ τοιοῦτόν τι εἴπῃς, ὡς προσαφθῆναι τούτῳ δύνασθαι λήκυθον.

sch ran 1224 ⟧ Σιδώνιόν ποτ’ ἄστυ: Τοῦ δευτέρου Φρίξου Εὐριπίδου ἡ ἀρχή.

sch ran 1225 ⟦ τὸ λοιπὸν δὲ τοῦ στίχου «ἵκετ’ ἐς Θήβης πέδον.» ⟧ ἀποπρίω τὴν λήκυθον: (Ἤτοι πρὸς Εὐριπίδην ὁ λόγος, ὅτι ἀγόρασον παρ’ Αἰσχύλου τὴν λήκυθον· ἢ πρὸς Αἰσχύλον, ὥστε πωλῆσαι.

sch ran 1227 ) ὡσεὶ εἶπεν, ὤνησαι αὐτὴν καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας. τὸ δὲ πρίω ἐν ἴσῳ τῷ ὤνησαι. ἀλλ’ ἐν τοῖς ἑξῆς φησιν Εὐριπίδης, ἐγὼ πρίωμαι τῷδε; ὥστε ματαία ἡ παρατήρησις τῷ Συμμάχῳ. ἐγὼ πρίωμαι τῷδε: (Ἀντὶ τοῦ, ἀγοράσω τὴν λήκυθον καὶ ἀποδώσω τὴν ἀπολωλυῖαν; δῆλον γέγονεν ὅτι τὸ ἀποπρίω ἀντὶ τοῦ ἐξώνησαι.

sch ran 1229 λέγει δὲ τοῦτο, ἐπειδὴ συνεχῶς ἐκεῖνος, ληκύθιον ἀπώλεσεν. τὸ δὲ πρίωμαι) ἴσον τῷ ὠνήσωμαι. θοαῖσιν ἵπποις: Τὸ δὲ λοιπὸν τοῦ ἰάμβου «Οἰνομάου γαμεῖ κόρην.

sch ran 1233 » [Ἰφιγενείας δὲ τῆς ἐν Ταύροις ἡ ἀρχὴ αὕτη.] ἀπόδος πάσῃ τέχνῃ: Λήκυθον αὐτῷ ἀπόδος ἀντὶ τῆς ἀπολομένης.

sch ran 1235 ἐπιλέγει δὲ, λήψει ὀβολοῦ πάνυ καλήν. [διὰ τούτων δὲ ὁ Διόνυσος ἐμφαίνει ὡς ἐπειδὴ ἐν τοῖς προλόγοις τοῖς σοῖς ἀποδίδοται ἡ λήκυθος, ὥσπερ δοκεῖς αὐτὴν ὀφείλειν Αἰσχύλῳ. οὐκοῦν ἀγοράσας ταύτην ἀπόδος αὐτῷ.] —ἀντὶ τοῦ πώλησον. R. V. Οἰνεύς ποτ’ ἐκ γῆς: (Ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς.

sch ran 1238 ἡ δὲ ἀρχὴ τοῦ δράματος Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός. ) ⟦ τὸ δὲ λεῖπον τοῦ στίχου «οὐκ ἔθυσεν Ἀρτέμιδι.» Οἰνεὺς δὲ τῆς αὐτοῦ γῆς εὐφορησάσης ἀπαρχὰς πᾶσι θεοῖς θύσας, Ἀρτέμιδι οὐκ ἔθυσεν. ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν, ἵνα ταύτην λυμήνηται. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν, καὶ τῷ κρατύναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ὑπέσχετο, συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. ἐπεὶ δὲ τὸ δέρας τῇ Ἀταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ Μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι, ἀγανακτοῦντες εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν Ἀταλάντης ἀφείλοντο, ὑπὸ δὲ Μελεάγρου ἐφονεύθησαν, ὀλίγον ὕστερον καὶ αὐτοῦ, τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης, καὶ ἀναψάσης τὸν Μοιρῶν δαλὸν, ἀποθανόντος. ⟧ διχῶς, πολύβοτρυν.

sch ran 1240 R. πρὸς τοδὶ γὰρ εἰπάτω: Εἰς ὃ μέλλω λέγειν, εἰπάτω τὸ ληκύθιον.

sch ran 1243 [ἀκόλουθον τοῦ εἰπέ προστακτικοῦ τὸ τρίτον εἰπέτω, ὡς λεγέτω· τοῦ δὲ εἶπον, εἰπάτω, ὡς γράψον γραψάτω.] Ζεὺς ὡς λέλεκται: Μελανίππης (τῆς σοφῆς ἡ) ἀρχή.

sch ran 1245

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(ἐρεῖ γὰρ, ληκύθιον ἀπώλεσεν: Ἐπεὶ οὐ προσέθηκε τῷ ἡμιστιχίῳ τὸ ληκύθιον ἀπώλεσε, πεποίηκε τὸν Διόνυσον ὥσπερ ὑφαρπάζοντα τὸν λόγον.) ὥσπερ τὰ σῦκα: Σῦκα λέγει τὰ συκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς, σῦκον καλούμενον.

sch ran 1247 (Ἄλλως. τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα σῦκα ἔφη.) —σῦκον, εἶδος παθήματος ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς καὶ οὐκ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος φυόμενον· ὅ φασιν ἰδιωτικῶς συκάμινον. Junt. ⟦ τράπου: Τοῦτο ἢ πρὸς τὸν Αἰσχύλον δι’ Εὐριπίδην, ἢ πρὸς Εὐριπίδην δι’ Αἰσχύλον· εἰ καὶ Εὐριπίδης τὸν λόγον προήρπασε. [5]

sch ran 1248 τὸ δὲ ταὔτ’ ἀεὶ ἀντὶ τοῦ ταυτά. διὰ δὲ τὴν συναλοιφὴν ἀναβιβάζεται ὁ τόνος. οὐ δεῖ δὲ περισπᾶν, ὡς ἐν τῷ Πλούτῳ εἴρηται. ⟧ ⟦ τί ποτε πρᾶγμα: Κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ κεῖσθαι μετὰ τὴν κορωνίδα (ἐνίοτε δὲ καὶ μετὰ τὴν διπλῆν, ὡς πολλάκις εἴρηται) , ἐκ κώλων ἀντισπαστικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ διιάμβοις καὶ διτροχαίοις δέκα. [5]

sch ran 1251 ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐκ πεντασυλλάβου ἀντισπάστου· ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον ἐκ παίωνος τετάρτου καὶ διιάμβου ὅμοιον. τὸ τρίτον τοῦ πρώτου ποδὸς πεντασυλλάβου καταληκτικόν. τὸ τέταρτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον. τὸ ε′ ὅμοιον τῷ β′. τὸ ἕκτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου πρώτου. τὸ ζ′ ὅμοιον τῷ β′. τὸ η′ καταληκτικὸν ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ θ′ ὅμοιον τῷ β′. τὸ ι′ ὅμοιον τῷ ὀγδόῳ. ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι γ′. ἑξῆς δὲ τίθεται κῶλον ἰαμβικὸν ἑφθημιμερὲς, τὸ, διαύλιον προσαυλεῖ. ὅπερ κατὰ παρεπιγραφὴν τίθεται. ὥσπερ καὶ τὸ, αὐλεῖ τις ἔνδον· καὶ ἄλλα πολλά. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς κορωνίς. τοῦ δὲ συστήματος παράγραφος. ⟧ τῶν μέχρι νῦν ὄντων ποιητῶν. [20]

sch ran 1256 R. τὸν βακχεῖον ἄνακτα: Τὸν Αἰσχύλον, οἷον τὸν ἄριστον μελοποιὸν, τὸν ὥσπερ ἐκβακχεύοντα ἐν τῇ ποιήσει.

sch ran 1259 ὁ γὰρ Εὐριπίδης ἔρχεται ἐπὶ τὰ μέλη αὐτοῦ. —τὸν ἔνθεον ἄρχοντα τῶν μελῶν, τὸν ἐκβακχεύοντα ἐν τῇ ποιήσει. Br. εἰς ἓν γὰρ αὐτοῦ πάντα: Εἰς τὸ αὐτὸ τέλος περατούμενα πάντα· ἐπεὶ κἀκεῖνος εἶπεν, ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ. [5]

sch ran 1263 καὶ μὴν λογιοῦμαι: Ἀντὶ τοῦ ἀριθμήσω, ψηφίσω. (ἐπεὶ προεῖπεν Εὐριπίδης, εἰς ἓν συγκεφαλαιώσομαι αὐτοῦ πάντα τὰ μέλη. Ἐρατοσθένης δὲ τῶν ψευδαττικῶν τινὰς γράφειν φησὶ, τὼ ψήφω λαβὼν, ἵνα καὶ τὰ πεπλασμένα δράματα, ἐν οἷς τὸ παράπαν τοῦτο ἠγνόηται, δοκῇ μὴ σεσολοικίσθαι.) —λογαριάσω. Θ. (διαύλιον προσαυλεῖ τις. [5]

sch ran 1264 ) τοῦτο παρεπιγραφὴ, ὥσπερ καὶ ἄλλα πολλάκις. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ. R. V. Φθιῶτ’ Ἀχιλεῦ: Εὐριπίδης ἐστὶ τὰ Αἰσχύλου λέγων. ἔστι δὲ ἐκ Μυρμιδόνων Αἰσχύλου. R. V. Θ. M. ⟦ τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει καὶ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ ἀσαφῆ, μίαν ἁρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητητέον. ἀνδροδάϊκτον δὲ, τὴν ἀνδρῶν φόνον ποιοῦσαν. τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς Ἡφαιστίων [c. 9, p. 126] φησίν· ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικὰ ε′. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται Αἰολικὸν, διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δεύτερον καὶ τὸ ε′ δίμετρα ὑπερκατάληκτα. τὸ γ′ πενθημιμερές. τὸ τέταρτον ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος τὰ κῶλα ὅμοια πέντε, πλὴν τοῦ τετάρτου τῷ δευτέρῳ τῆς ᾠδῆς ὁμοίου, ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ β′ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γ′ καὶ τὸ ϛ′ ὡς τὸ β′ τῆς ἄνω

ᾠδῆς. τὸ δ’ δακτυλικὸν τετράμετρον. ἔστι δὲ κῶλον ἐκ χοροῦ, ὡς ἀνέγνων ἐν Ἀγαμέμνονι δράματι Αἰσχύλου. τὸ ε′ ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν, «αἴσιον ἀνδρῶν ἐκτελέων·» ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέντοι ἕκτος στίχος ἔν τισιν οὐ κεῖται· οἷον, ἴθι δὴ πέραινε. ⟧ Ἑρμᾶν μὲν πρόγονον: Ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.

sch ran 1266 (προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ, ἀλλ’ ὡς ἔτυχεν ἄλλο ἄλλοθεν, καὶ ἐπιλέγει τὸ ἰήκοπον), ⟦ κυρίως ἐκείνων τῶν στίχων ὄν, τοῦ, Φθιῶτ’ Ἀχιλλεῦ. ⟧ ⟦ τοῦτο ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν. τὸ δὲ Ἑρμὰν μὲν τίομεν λέγουσιν οἱ Ἀρκάδες διὰ ταῦτα· ἐν τῇ Κυλλήνῃ, ἥ ἐστιν ὄρος Ἀρκαδίας, ἐτιμᾶτο ὁ Ἑρμῆς. διὰ γοῦν τὴν ἐξ ἀμνημονεύτων χρόνων τιμὴν ὡς πρόγονος τούτοις ἐδόκει. ᾄδουσι δὲ καί τινα ἱστορίαν μυθώδη. λίμναν δὲ λέγει τὴν Στυμφαλίδα, ἐν Ἀρκαδίᾳ γὰρ καὶ αὕτη. Cant.1. ⟧ ἰστέον ὅτι τὸ ἰήκοπον οὐ πελάθεις ἐπ’ ἀρωγὰν παίζων πανταχοῦ ἐπιφέρει, κυρίως ἐκείνων τῶν ἰαμβείων ὄν, τοῦ, Φθιῶτ’ Ἀχιλεῦ.

sch ran 1267 Barocc. (κύδιστ’ Ἀχαιῶν: Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί.

sch ran 1270 Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου. Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.) εὐφημεῖτε μελισσονόμοι: Ἐξ Ἱερειῶν Αἰσχύλου.

sch ran 1274 R. V. [οἱ διανέμοντες τὰ τῆς πόλεως, ἢ οἰκοῦντες ἐν τῇ πόλει.] —εὐφήμως λέγετε οἱ δίκην μελισσῶν νεμόμενοι ἐν τῷδε τῷ τῆς θεᾶς ἄλσει. Br. [ἰήκοπον: Τινὲς ἀξιοῦσι τὸ ἰή ψιλοῦν, ὅταν μὴ ᾖ ἐν ὕμνῳ.

sch ran 1275 ἐκεῖ γὰρ δασύνεται. ὡς ἐφυμνίῳ δὲ κέχρηται τῷ ἰήκοπον οὐ πελάθεις.] ὅσιον κράτος: (Ἐν τοῖς πλείστοις αἴσιον.

sch ran 1276 Ἀσκληπιάδης τὸ ὅσιον. ἔστι δὲ) ἐξ Ἀγαμέμνονος Αἰσχύλου [104]. βουβωνιῶ δὲ ἀντὶ τοῦ φλεγμαίνω τοὺς βουβῶνας. —ὅσιον: Ἁγίαν καὶ δικαίαν ἐπικράτησιν. Cant. 1. ἐπεὶ συνεχῶς εἶπε τὸ ἰήκοπον.

sch ran 1278 Θ. λείπει τὸ ἀπελθεῖν.

sch ran 1279 R. V. στάσιν μελῶν: Στάσιμον μέλος, ὃ ᾄδουσιν ἱστάμενοι οἱ χορευταί.

sch ran 1281 —σύνοδον, διήγησιν. R. V. ἐκ τῶν κιθαρῳδικῶν νόμων: Τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταμένως.

sch ran 1282 —ἀντὶ τοῦ ξένην τραγῳδίαν. R. Ven. ἐν τισι οὐ κεῖται.

sch ran 1283 V. ⟦ ὅπως Ἀχαιῶν: Ὠιδὴ κώλων ιδ′.

sch ran 1285 ὧν τὸ πρῶτον ἰαμβικὸν ἑφθημιμερές. τὸ β′ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ δ′ δακτυλικὸν πενθημιμερές. τὸ ε′ Φερεκράτειον. τὸ ζ′ τρίμετρον ἀκατάληκτον. τὸ η′ δίμετρον. τὸ ι′ ὅμοιον τῷ α′. τὸ ια′ ὅμοιον τῷ β′. τὸ ιβ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δ’ ἐφύμνιον δίμετρον ἰαμβικὸν ἀκατάληκτον. ⟧ Εὐριπίδης ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπασμένως λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων. ⟦ τοῦτο μέντοι ἐξ Ἀγαμέμνονος. δίθρονον δὲ κράτος, αὐτόν τε καὶ τὸν Μενέλαον. ἀκμὴν δὲ τὴν νεότητα. ἔστι δὲ ἀναπόδοτον. ⟧ —καὶ τοῦτο ἐξ Ἀγαμέμνονος. R. V. (τὸ φλαττοθραττόφλατ: Τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιόν.

sch ran 1286 τινὲς δὲ καὶ σημειοῦνται αὐτό, ὅτι τῶν διορθωτῶν τινὲς περιεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις.) ⟦ Σφίγγα δὲ δυσαμερίαν, τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. θούριος δὲ ὄρνις, ἡ πολεμοῦσα Θηβαίοις τύχη. τὸ δὲ ξὺν δορὶ καὶ χειρὶ πράκτορι, ἐξ Ἀγαμέμνονος, ἐκ τῆς συνεπείας τοῦ «κύριός εἰμι θροεῖν.»

ἐπειδὴ δὲ οἱ τῆς Σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος πλήττει, διὰ τοῦτο δόρατι εἶπεν. ⟧ ἐπιτυχεῖν.

sch ran 1291 R. V. Θ. καὶ τοῦτο ἐξ Ἀγαμέμνονος. R. V. ἀντὶ τοῦ ἀναισχύντοις. R. ⟦ ἰταμαῖς κυσὶ: Τοῖς ἁρπακτικοῖς ἀετοῖς. ταῦτα δὲ ὡς ἀσαφῆ πάρελθε. ⟧ —διὰ τοῦ ἀέρος φοιτώσαις. V. (τὸ συγκλινὲς ἐπ’ Αἴαντι: Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι.

sch ran 1294 Ἀπολλώνιος δέ φησιν ἐκ Θρῃσσῶν αὐτὸ εἶναι.) ⟦ τί τὸ φλαττόθρατ: Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ′.

sch ran 1296 ἐπὶ τῷ τέλει παράγραφος. ⟧ ἐκ Μαραθῶνος: (Ἐπεὶ ὁ φλέως ἄνθος ἐν Μαραθῶνι, ὃν οἱ ἰδιῶται φλόμον.) διὰ τὸ ἔχειν τὸ φλατ ἐν ἀρχῇ παρόμοιον τῷ φλέῳ. ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος· ἑλώδης γὰρ ὁ τόπος. ἱμονιοστρόφου: (Οἷον σχοινιοστρόφου μέλη, ἃ εἰκὸς ἄνδρα ὕδατα ἀρυόμενον ᾄδειν.

sch ran 1297 ) ἱμονιὰ γὰρ καλεῖται τὸ τῶν ἀντλημάτων σχοινίον, καὶ τὸ ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντληταὶ, ἱμαῖον. (Καλλίμαχος [fr. 42] ἀείδει καὶ πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον. ) ἀλλ’ οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν μετήνεγκα: Ἐγὼ, φησὶν, εἰς τὸ καλὸν ἐκ τοῦ καλοῦ αὐτὰ μετήνεγκα.

sch ran 1298 (ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγῳδικὸν μετήνεγκα, ἵνα μὴ εἰς ταὐτὰ τοῖς ὑπὸ Φρυνίχου μέλεσι προεισηγμένοις ἐμπίπτω.) ἀποδέχονται δὲ πάντες τοῖς μέλεσι τὸν Φρύνιχον ἐπιτυγχάνοντα. (ἤνεγκον· Διχῶς ἔλεγον· ἤνεγκον μὲν ἀπὸ τοῦ ἐνέγκω· ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνείκω.

sch ran 1299 ) ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ: Ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ. ἦν δὲ οὗτος μελοποιὸς ἡδύς. ὁ δὲ λόγος, ἐκ τῶν κιθαρῳδικῶν εἰς τὸ τραγικὸν (γένος) μετήνεγκα. τοῦτο γὰρ ὁ Εὐριπίδης προεῖπεν. σκολίων: Σκολιὰ λέγονται τὰ παροίνια ᾄσματα.

sch ran 1302 τὰ δὲ Καρικὰ αὐλήματα (καὶ μέλη) θρηνώδη ἐστίν. ⟦ ἢ Καρικῶν, βαρβαρικῶν, δουλικῶν. ⟧ Μελήτου: Προείρηται ὅτι τραγικὸς ποιητὴς ὁ Μέλητος. οὗτος δέ ἐστιν ὁ Σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ καὶ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. ⟦ χορείων δὲ, μικροπρεπῶν, καὶ οἷα ἐν τοῖς χοροῖς ᾄδουσι. λύριον δὲ τὴν μικρὰν λύραν, ⟧ ὥστε ψῆλαι τὰ Εὐριπίδου. ἡ τοῖς ὀστράκοις: ⟦ Ἀπορίᾳ λύρας ὄστρακα τινὲς λαμβάνοντες ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον.

sch ran 1305 διαβάλλει δὲ ἐντεῦθεν Εὐριπίδην ὡς κακὸν μελοποιόν. Ἄλλως. ⟧ ὅτι φαίνονταί τινες ἀγοραῖοι κρούοντες τοῖς ὀστράκοις καὶ προσᾴδοντες τῷ κρούματι τῷ διὰ τούτων. λέγεται δὲ εἰς τὴν Ὑψιπύλην ταῦτα, (ἢ καθόλου τὴν μοῦσαν αὐτοῦ. ἐπιλέγει γὰρ «δεῦρο μοῦσα Εὐριπίδου.» Δίδυμος δὲ προστίθησιν ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες ἔνρυθμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις.) αὕτη ποθ’ ἡ Μοῦσα: Ἐν ἐρωτήσει λέγει.

sch ran 1308 αὕτη οὐκ ᾐσχροποίει; (καὶ ἐν Σφηξὶν [1346] ἐπὶ τῆς αὐλητρίδος μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας. ) λεσβιάζειν δὲ τὸ παρανόμως πλησιάζειν. διεβάλλοντο γὰρ ἐπὶ τούτῳ οἱ Λέσβιοι. (καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ Χείρωνι δώσει δέ τοι γυναῖκας ἑπτὰ Λεσβίδας. καλὸν τὸ δῶρον, ἕπτ’ ἔχειν λαικαστρίας. ) ἀλκυόνες: Χαρακτηρίζει τὰ Εὐριπίδου μέλη ὡς ἐκλελυμένα.

sch ran 1309 ⟦ ἀλκυόνες δὲ ἐπάνω τοῦ τῆς θαλάσσης ὕδατος καθήμεναι τὰ αὐτῶν ᾠὰ ἐν τῷ βυθῷ κείμενα θερμαίνουσι. καθ’ ὃν δὲ καιρὸν τοῦτο ποιοῦσιν, ἀλκυονίτιδες αὗται αἱ ἡμέραι καλοῦνται, καὶ ἔστιν ἐν αὐταῖς μεγίστη ἡσυχία ἀνέμων τε καὶ κυμάτων. οἱ δέ φασιν ὡς ἐν τῷ ἄκρῳ τῆς θαλάσσης ἐπὶ τῆς ψάμμου τοῦτο ποιοῦσι. ⟧ κύμασι στωμύλλετε: Διὰ τοῦ στωμύλλετε πάλιν εἰς αὐτὸν παίζει.

sch ran 1310

ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα συντίθησι καὶ οὐδὲν κατὰ τὸ ἑξῆς λέγει μέλος. (ἔστι δὲ τὸ προεγκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι.) τέγγονται νοτεραῖς: Τὸ ἑξῆς, νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι.

sch ran 1314 εἱειειειει: Ἡ ἐπέκτασις τοῦ εἱ εἱ εἱλίσσετε κατὰ μίμησιν (εἴρηται) τῆς μελοποιίας. φάλαγγες: ⟦ Αἱ λεγόμεναι καματηραί. ⟧ (ἀράχνιόν τι ἡ φάλαγξ. λέγουσι δὲ καὶ τῶν δακτύλων τὰ ἄρθρα φάλαγγας, ἅπερ νῦν μᾶλλον λέγει.) ἱστότονα: ⟦ Τοὺς ἱστοὺς, οὓς ἐν τῷ ἀέρι οἱ ἀράχναι ὑφαίνουσι.

sch ran 1315 λάμβανε δὲ ἀπὸ κοινοῦ εἰς τὰς μελέτας τὸ εἱλίσσετε οὕτως· καὶ εἱλίσσετε μελέτας κερκίδος ἀοιδοῦ· τουτέστιν, ὥσπερ αἱ ὑφάντριαι διὰ τῶν κερκίδων γυναῖκες ἐν τῷ ὑφαίνειν ᾄδουσιν, οὕτω καὶ ὑμεῖς ὦ ἀράχναι. πηνίσματα δὲ, ὑφάσματα. τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου. τὸ δὲ, ἵν᾽ ὁ φίλαυλος, ἐξ Ἠλέκτρας (438) ⟧ φίλαυλος δὲ ὁ τοὺς αὐλοὺς καὶ τὰ μέλη ποιῶν. αἰνίττεται δ᾽ ἴσως εἰς τὸν Ἀριόνιον μῦθον. κυανεμβόλοις δὲ ταῖς ἐν τῷ μέλανι βυθῷ χωρούσαις. καὶ ταῦτα Εὐριπίδου.

sch ran 1316 ἔστι δὲ ἀσυνάρτητα. V. οἰνάνθας: Παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου «οἰνάνθα τρέφει τὸν ἱερὸν βότρυν.

sch ran 1320 » ἡ πρώτη δὲ ἔκφυσις τῆς ἀμπέλου οἰνάνθη λέγεται. ⟦ καὶ τὸ, περίβαλ᾽ ὦ τέκνον, ἐξ Ὑψιπύλης. ⟧ —ὁ οἶνος. R. ὁρᾷς τὸν πόδα τοῦτον: (Ὡς καὶ τοιαῦτα ἀμοιβαῖα ἐν τοῖς μέλεσιν ἐπιτηδεύοντος Εὐριπίδου.

sch ran 1323 ) καὶ ταῦτα δὲ αὐτὸς προστίθησιν ἀναμωκώμενος Εὐριπίδην, ὡς τὰ τοιαῦτα ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπιτηδεύοντα. ⟦ πόδα δὲ, τὸν ῥυθμὸν, ἢ τὸ μέλος· ἀπὸ μέρους. ⟧ Κυρήνης μελοποιῶν: Κυρήνη τις ἑταίρα ἐπίσημος, δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν.

sch ran 1328 ἔστι δὲ (παρὰ τὰ) ἐξ Ὑψιπύλης (Εὐριπίδου «ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον.») ⟦ ἐκ δὲ τοῦ λέγειν, ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς δώδεκα ἐκείνης αἰσχρὰς μηχανὰς, δείκνυσιν αὐτὸν πάνυ φαυλότατον. ⟧ ὦ Νυκτὸς κελαινοφανὴς: ⟦ Φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν Εὐριπίδου.

sch ran 1331 ⟧ (Ἀσκληπιάδης,) παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου [68], (ἐν μιμήσει δηλονότι. οὕτω γὰρ παραγέγραπται) «ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ, (τί ποτ᾽ αἴρομαι ἔννυχος οὕτω;)» ⟦ πρόσπολον δὲ, ὑπηρέτην. ψυχὴν δὲ, ὡς φαινόμενον· ἄψυχον δὲ, ὡς ἄϋλον καὶ εὐθέως οἰχόμενον. νυκτὸς δὲ παῖδα ἐνταῦθα εἴρηκε, καίτοι ἐν Ἑκάβῃ μελανοπτερύγων ὀνείρων εἰπὼν τὴν γῆν μητέρα. ⟧ — ἀντὶ τοῦ μέλαινα. R. πρόμολον: Πρόδρομον καὶ θανάτου σημαντικόν.

sch ran 1333 E. Cant.1. ⟦ μελανονεκυείμονα δὲ, μέλανα καὶ νεκρικὰ ἱμάτια φοροῦντα ὡς θανάτου σημαντικόν. ⟧ ⟦ μεγάλους ὄνυχας ἔχοντα: Ὡς πάνυ τὰς ψυχὰς σπαράττοντα.

sch ran 1337 ⟧ (ἀλλά μοι ἀμφίπολοι: Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Τημενιδῶν.

sch ran 1338 ) —Ἀπολλώνιος ἀπὸ τῶν Εὐμενίδων φησὶν εἶναι. Cant.1. Ὄνειρον ἀποκλύσω: Καὶ τοῦτο μιμεῖται ὁ Αἰσχύλος.

sch ran 1340 τοῦτο δὲ λέγει παρόσον ἀποδιοπομπεῖσθαι εἰώθασι τοὺς χαλεπωτάτους τῶν ὀνείρων. ἀπρόσπλοκα ταῦτα καὶ ἀσυνάρτητα σὺν τοῖς ἑξῆς πᾶσι. ⟦ τὸ δὲ ὄναρ, ὃ εἶδε, τοιοῦτον εἶναι δοκεῖ, ὡς γυνή τις ἐκ γειτόνων οὖσα αὐτῇ, Γλύκη καλουμένη, τὸν ἀλεκτρυόνα αὐτῆς ἁρπάσασα ᾤχετο. ἐπικαλεῖται δὲ τὸν Ποσειδῶνα ὡς πλησίον τῆς θαλάσσης ἰδοῦσα τὸν ὄνειρον. ⟧ Νύμφαι ὀρεσίγονοι: Ἐκ τῶν Ξαντριῶν Αἰσχύλου, (φησὶν Ἀσκληπιάδης· εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διασωθέντων· «Νύμφαις **** θεαῖσιν ἀγείρω, «Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.

sch ran 1344

» ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα. ἄλλως οὐδὲ παρ’ Αἰσχύλου ἥρμοζε τὰ τοιαῦτα λαμβάνεσθαι.) ⟦ τὸ δὲ Μανία ξύλλαβε, νῦν λέγει διὰ τὸν ἄτοπον ὄνειρον, εὐχομένη μανίας τυχεῖν, ἵνα μηδενὸς τούτων αἰσθάνοιτο. τὸ δὲ ἐγὼ δ’ ἁ τλάμων, πρὸς τὸ, φρούδη Γλύκη, ἔχει τὴν ἀκολουθίαν. κνεφαῖος δὲ, ἑωθινή. κνέφας γὰρ τὸ λυκόφως. ⟧ ἀντὶ τοῦ ἄτρακτον κλώθουσα.

sch ran 1348 R. V. Θ. εἰς ἀγορὰν φέρουσα: Πάλιν ἐπὶ πενίαν καὶ μικροπρέπειαν αὐτὸν κωμῳδεῖ.

sch ran 1353 ὅτι ἐν τοῖς μέλεσι δὶς τὰ αὐτὰ λέγει Εὐριπίδης. ἀλλ’ ὦ Κρῆτες, Ἴδης: Τοὺς Κρῆτας λέγει.

sch ran 1356 ἔστι δὲ ἐκ Κρητῶν Εὐριπίδου. R. V. Θ. M. ⟦ οὐ μόνον ἐν Τροίᾳ, ἀλλὰ καὶ ἐν Κρήτῃ Ἴδη ἐστὶν, ὡς καὶ ὁ Λυκόφρων φησίν. ἐπεὶ δὲ ἐν Κρήτῃ ἦν ἡ τοῦτο λέγουσα, διὰ τοῦτο λέγει, Ἴδης τέκνα τὰ τόξα λαβόντες ἐπαμύνατε. Δίκτυνναν δὲ λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα, ἐπειδὴ τῶν κυνηγετῶν ἐστι τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις. φασὶ δὲ ὅτι νύμφη τις Βριτόμαρτις καλουμένη, θηρεύουσά ποτε δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε, καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα, Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν, οἱ δὲ ἄλλην καὶ ἄλλην· ὡς κἀνταῦθα. ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου. ⟧ τὰ κῶλα: Τοὺς πόδας ὑμῶν.

sch ran 1358 Br. κυνίσκας: Ἀντὶ τοῦ τὰς κύνας.

sch ran 1360* (ὡς φιάλας καὶ φιαλίσκας· διπύρους δὲ, ἀντὶ τοῦ διπλᾶς.) ἢ ἀντὶ τοῦ διαπύρους.

sch ran 1361 ἢ ὅτι λαμπάδας ἔχει διττάς. V. διακαεῖς, ἢ διπύρους, ἤτοι διπλᾶς. C. εὕρω, ἐρευνήσω, φωράσω.

sch ran 1363 R. ἐρευνήσω, εὕρω, θεωρήσω. V. Θ. τὸ γὰρ βάρος: Τινές φασιν ἕως τῶν ἐνταῦθα τὸν Αἰσχύλον λέγειν, τὰ δὲ ἑξῆς τὸν Διόνυσον.

sch ran 1369 τυροπωλῆσαι: Πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός. —τυροπωλῆσαι τέχνην: Τυροπωλικῶς ζυγῆσαι. Θ. E. ⟦ ἐπίπονοί γ’ οἱ δεξιοί: Κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ, διὰ τὸ προτίθεσθαι τῆς κορωνίδος, ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις η′.

sch ran 1373 ὧν τὰ γ′ ἑφθημιμερῆ· τὰ δ’ ἄλλα δίμετρα ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἰθυφαλλικοῦ ὄντος. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ —οἱ εὐπαίδευτοι. R. σπουδαῖοι, μηχανικοὶ, οἱ ἐπιτήδειοι, οἱ φρόνιμοι. Θ. μὰ τὸν: Ἐλλειπτικῶς ὀμνύει.

sch ran 1374 καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν [εὐλαβείας χάριν]. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπευφημιζόμενοι, ὥστε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι. (καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. λέγει δὲ, οὐκ ἂν ἐπειθόμην, οὐδὲ εἴ τίς μοι ἔλεγε τῶν ἐπὶ τοῦ πράγματος τυχόντων.) ⟦ τὸ δὲ ἐπιτυχόντων, ἀντὶ τοῦ συνελθόντων. ἡ ἐπί ἀντὶ τῆς σύν. ⟧ — μὰ τὸν: Δέον εἰπεῖν μὰ τὸν Δία, μὰ τὸν εἶπε μόνον. καὶ ἔστι τοῦτο εὐλαβείας ἴδιον, τὸ πεφεισμένως καὶ ἐλλειπτικῶς τοῦ ὅρκου ἅπτεσθαι. E. ⟦ ἴθι νῦν παρίστασθον: Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν.

sch ran 1378 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ριε′· ὧν τελευταῖος νὴ τὸν Δί’ οὐ γὰρ ἄχθομαι τῷ πράγματι. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ παρὰ τὼ πλάστιγγ’: (Παρὰ τοῖς νῦν λεγομένοις ζυγίοις. τὸ δὲ σχῆμα Ἀττικὸν, ὡς τὼ χεῖρε, τὼ πόλει καὶ νὴ τὼ σιώ.) πλάστιγξ δὲ τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθεται τὰ ζυγά. —τὸ ἰδού ἀμφότεροί φασι. R. κοκκύσω: Συρίσω, σύνθημα δῶ, ⟦ δίκην ἀλεκτρυόνος βοήσω.

sch ran 1380 τὸ δὲ «εἴθ’ ὤφελεν» ἀρχὴ τοῦ Μηδείας δράματος Εὐριπίδου. ⟧ βούνομοι: Ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι.

sch ran 1383 ἐστὶ δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου. ἐριοπωλικῶς: Ὡς οἱ τὰ ἔρια πωλοῦντες, βρέχουσιν αὐτὰ, ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ.

sch ran 1386

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟦ τὸ δὲ, «οὐκ ἔστι πειθοῦς,» ἐξ Ἀντιγόνης Εὐριπίδου. τὴν δὲ πειθὼ χρῆμα νοῦν οὐκ ἔχον φησὶν, ὅτι τὸ πείθειν ποικιλία καὶ στροφὴ λόγων ἐστὶ, παράγουσα τοὺς ἀκούοντας, καὶ οὐκ ἀληθὴς διάνοια. τὸ δ' ἐξῆς ἐκ Νιόβης Αἰσχύλου. ⟧ ἤν' ἰδού: Ἠνὶ ἰδοὺ ἐκ παραλλήλου.

sch ran 1390 Θ. Vict. βέβληκ' Ἀχιλλεὺς: Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι, ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε.

sch ran 1400 (μήποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην τοῦτο προφερόμενον. ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ, ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδὼς ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα. τοῦτο δὲ Διόνυσος ὑποβάλλει αὐτῷ χλευάζων.) ⟦ Ἄλλως. ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν, β', δ', γ', ε'. τοῦτο δὲ λέγει ὁ Διόνυσος δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. τὸ δὲ σιδηροβριθὲς, ἐκ Μελεάγρου. τὸ δὲ, ἐφ' ἅρματος γὰρ ἅρμα, ἐκ Γλαύκου Ποτνιέως Αἰσχύλου. τὸ δὲ ἐξηπάτηκεν εἶπεν ἐκ μεταφορᾶς τῶν παλαιστῶν. ἐκεῖνοι γὰρ ἀπατῶντες τοὺς ἀντιπάλους νικῶσιν. ⟧ σφῷν: Γρ.

sch ran 1401 καὶ νῷν. R. ἐκ Μελεάγρου Εὐριπίδου.

sch ran 1402 R. ἐκ Γλαύκου Αἰσχύλου.

sch ran 1403 R. [ἑκατὸν Αἰγύπτιοι: Πολλαχοῦ ὡς ἀχθοφόρων τῶν Αἰγυπτίων μέμνηται.

sch ran 1406 ] (Κηφισοφῶν: Καὶ διὰ τούτου δηλοῖ πάλιν σχεδόν τι τὸ συναμφότερον, ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα, καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν.

sch ran 1408 Ἄλλως. οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ καὶ ὡς συνόντος αὐτοῦ τῇ γυναικί.) ⟦ οἱ δὲ γράφοντες χὠ Κηφισοφῶν, εἶναι δ' ἀξιοῦντες ἀνάπαιστον τὸν τελευταῖον πόδα, σκεψάσθωσαν εἰ ἡ προπαραλήγουσα συστέλλεται. ⟧ τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν: Τὸν Αἰσχύλον σοφὸν, ἥδομαι δὲ τῷ Εὐριπίδῃ.

sch ran 1413 R. σοφὸν μὲν Εὐριπίδην λέγει, ἥδεσθαι δὲ τῷ Αἰσχύλῳ. οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ τὸ ἐναντίον, καὶ ἑκατέρῳ συνηγορεῖν καὶ μάλιστα, ὅτι ἥδεται Εὐριπίδῃ, ὡς καὶ ἐν ἀρχῇ προεῖπεν. οὐδὲν ἄρα πράξεις: Ἀπολλώνιος τοῦ Πλούτωνος τοῦτο εἶναί φησι, (καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δ').

sch ran 1414 τινὲς δὲ τοῦ χοροῦ. πύθεσθε: Ἀκούσατε.

sch ran 1417 Br. τοῦ χάριν: Οὐκ ἔστιν ἄλλου προσώπου τὸ τοῦ χάριν, ἀλλ' ὁ Διόνυσος ἑαυτῷ ἀνθυποφέρει.

sch ran 1422 πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου: Περὶ τῆς δευτέρας αὐτοῦ λέγει ἀποχωρήσεως, ἣν ἑκὼν ἔφυγε, κατελθὼν μὲν ἐπὶ Ἀντιγένους πρὸ ἐνιαυτοῦ τῶν Βατράχων, διὰ δὲ τὸ πιστεῦσαι Ἀντιόχῳ τῷ κυβερνήτῃ τὸ ναυτικὸν καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου δυσχερανθεὶς ὑπ' Ἀθηναίων. (Ἄνδρων δὲ διαφέρεται πρὸς Ξενοφῶντα περὶ τῆς καθόδου. Καλλίστρατος δέ φησιν ὅτι οὗτος ἦν ὁ καιρὸς, καθ' ὃν ἑκὼν ἔφυγεν ὁ Ἀλκιβιάδης. ὁ δὲ Ἀρίσταρχός φησι, καθ' ὃν ἐκπεσὼν ἐν Λακεδαίμονι διατρίβων ἔπεισε Λακεδαιμονίους Ἀθηναίοις Δεκέλειαν ἐπιτειχίσαι· τελέως δὲ πταίουσι. λέγει οὖν περὶ τῆς δευτέρας ἀποχωρήσεως, ἣν ἑκὼν ἔφυγε. γεγόνασι δὲ Ἀλκιβιάδαι τέσσαρες.) ⟦ δυστοκεῖ δὲ λέγει ἀντὶ τοῦ ἀγανακτεῖ καὶ κακῶς πάσχει, ἐκ μεταφορᾶς τῶν δυστοκουσῶν γυναικῶν. ἢ δυστοκεῖ λέγει ἀντὶ τοῦ, κακὰ γεννήματα προάγει. Ἀλκιβιάδης γὰρ φύσει Ἀθηναῖος ὢν ἔφυγε μὲν καὶ πρόσθεν διά τινα αἰτίαν ἐκ πόλεως, κατελθὼν δὲ ὕστερον καὶ ναύαρχος καταστὰς ἐνεπιστεύσατο τὸ ναυτικὸν Ἀντιόχῳ· οὗ καὶ ὑπὸ Λυσάνδρου ἡττηθέντος φοβηθεὶς Ἀλκιβιάδης μεταχωρεῖ πρὸς Λακεδαιμονίους, οὓς καὶ πείθει Ἀθηναίοις ἐπιτειχίσαι Δεκέλειαν. ἡ δὲ Δεκέλεια χώρα ἐν τῇ Ἀττικῇ, ἧς τειχισθείσης μέγας ἦν κίνδυνος Ἀθηναίοις μὴ δυναμένοις ἐξελθεῖν. ⟧ —πρὸς τοὺς ποιητὰς ὁ ...... R. (ποθεῖ μὲν, ἐχθαίρει δὲ:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν, ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησὶ σιγᾷ μὲν, ἐχθαίρει δὲ, βούλεταί γε μήν.

sch ran 1425 ὁ δὲ λόγος, ποθεῖ μὲν ὡς δραστήριον, μισεῖ δὲ ὡς τυραννικόν.) ⟦ ἢ ὡς εἰς Λακεδαιμονίους χωρήσαντα. ⟧ μισῶ πολίτην: Αὕτη Εὐριπίδου ἡ γνώμη, μὴ καταδέχεσθαι καθάπαξ Ἀλκιβιάδην.

sch ran 1427 (χαρακτηρίζει δὲ αὐτὸν ἅμα. ταῦτα δέ φησιν Εὐριπίδης περὶ) Ἀλκιβιάδου, ὡς ὄντος αὐτοῦ τοιούτου, βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος. μάλιστα μὲν λέοντα: (Μάλιστα μὲν) μὴ ἀνατρέφειν φρόνημα, ἐὰν δὲ ἀνατρέφῃ, μὴ ἐρεθίζειν, ἀλλὰ τιθασῶσαι.

sch ran 1432 ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι, ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, ἢ μὴ καταδέξασθαι, ἢ καταδεξαμένους τροποφορεῖν. (ἔν τισι δὲ μετὰ τὸ πρῶτον παραγραφή· ὥστε εἶναι τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλου, τοὺς δὲ ἑξῆς ἄδηλον τίνος. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφηνάμενος, ἢ ὁ Διόνυσος ἀντὶ τοῦ ἀκούειν ἐκείνου αὐτὸς λέγων καὶ ταῦτα, ἐπεξεργαζόμενος τὸ παρ’ Αἰσχύλου λεγόμενον· ἢ ὁ χορός. ἔν τισι δὲ ἑνός ἐστι τὰ τρία, τοῦ Αἰσχύλου πρῶτον μὲν ἀποφατικῶς λέγοντος, τὰ δὲ ἑξῆς δύο μαλακώτερον ὑποτιθεμένου.) σοφῶς μὲν ὁ Αἰσχύλος, σαφῶς δὲ ὁ Εὐριπίδης.

sch ran 1434 R. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ: Ὁ Κινησίας λεπτὸς ἦν, ὁ δὲ Κλεόκριτος μοχθηρός.

sch ran 1437 φησὶν οὖν ὅτι (εἴ τις ἀντὶ πτερῶν) Κλεοκρίτῳ Κινησίαν παραβάλοι, ὥστε φέρεσθαι μεταρσίους, συμβήσεται αὐτοὺς ὀλέσθαι αὐροφορήτους γενομένους. ⟦ Ἄλλως. εἴ τις πτερώσας: Ὡς λεπτὸς σφόδρα ὢν κωμῳδεῖται καὶ ὡς ξένος καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ καὶ τοῦ Κινησίου ὡς τούτου καὶ τοῦ Κλεοκρίτου ὁμοφρονούντων. ἀθετεῖ δὲ τοὺς πέντε ἐφεξῆς στίχους ἕως τοῦ ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων Ἀρίσταρχος. ὅτι φορτικώτεροί εἰσι καὶ εὐτελεῖς, διὰ τοῦτο ὑποπτεύονται. Ἀπολλώνιος δὲ οὐ διὰ τοῦτο, ἀλλ’ ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. ἐρομένων δὲ αὐτῶν ἑκάτερος μίαν γνώμην λέγει. ⟧ κατέχοντες ὀξίδας: Ὀξυβάφους κατέχοντες ῥαίνοιεν ὄξει τοὺς πολεμίους.

sch ran 1440 (ὀξίδες δὲ κεράμια μικρά. ἢ εἶδος λοπάδος ἡ ὀξίς. ταῦτα δὲ ἠθετημένα μετρίως ἄν τις νομίσειεν ἐνδιεσκευάσθαι. καὶ γάρ ἐστι φορτικά. τὰ δὲ ἑξῆς κείμενα πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει.) ⟦ ὅταν, φησὶν, οὓς νῦν ἔχομεν παρεωραμένους καὶ δοκοῦμεν ἐχθροὺς τῆς πόλεως, τούτους ἐπανάγωμεν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ πιστοὺς νομίσωμεν· οἷς δὲ νῦν χρώμεθα ὡς πιστοῖς, τούτους ἀπίστους καὶ φθορέας τῆς πόλεως ἡγώμεθα, σωθείη ἡ πόλις. τοῦτο δὲ λέγει, διότι τοὺς καλοὺς καὶ λυσιτελοῦντας ἄνδρας τῇ πόλει ἀφέντες, ὡς καὶ ὄπισθεν ἐν τῇ παραβάσει ἔφη, μοχθηροῖς καὶ φαύλοις ἐχρῶντο πρὸς τὰ κοινά. ⟧ ἀμαθέστερόν πως εἰπὲ: ⟦ Ἀγροικότερον καὶ παχύτερον.

sch ran 1445 ⟧ ἀπαιδευτότερον, ἢ κοινότερον. παρὰ τὴν παροιμίαν σαφέστερόν μοι κἀμαθέστερον φράσον. εὖ γ’ ὦ Παλάμηδες: [Πρὸς τὸν Εὐριπίδην· ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.

sch ran 1451 ] ⟦ ἢ ἐπειδὴ ὁ Παλαμήδης μηχανικὸς καὶ ἐφευρετὴς ἦν. εὗρε δὲ καὶ οὗτος μηχανὴν σωτηρίας τῇ πόλει. διὰ τοῦτο Παλαμήδην τοῦτον καλεῖ. ⟧ (ταυτὶ πότερ’ αὐτὸς: Συναθετεῖται τοῖς ἄνω καὶ οὗτος.

sch ran 1452 μένων γὰρ ἀκυροῖ τὴν ἐκείνων ἀθέτησιν, ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα Αἰσχύλος λέγων, τὰ δὲ ἑξῆς Εὐριπίδης.) (τὰς δ’ ὀξίδας Κηφισοφῶν: Τιμαχίδας πόρρωθεν ἐκ λαχανοπώλιδός φησι τὸν Εὐριπίδην διὰ τὰς ὀξίδας.

sch ran 1453 ) ⟦ πόθεν: Ἀρνητικῶς ἴσον τῷ οὐδαμῶς.

sch ran 1455 πρὸς βίαν δὲ, πρὸς ἀνάγκην· ἐπειδὴ τούτους ὁ καιρὸς ἤγαγεν. ⟧ ἐν ἐρωτήσει.

sch ran 1458 R. ᾗ μήτε σισύρα: (Χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμίδα ἢ ἁπλοΐδα ἤ τι τοιοῦτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 1459 ) ⟦ καὶ ἀλλαχοῦ (Eccl. 421) χειμῶνος ὄντος τρεῖς σισύρας ὀφειλέτω. τινὲς δὲ ἱμάτιον τραχὺ καὶ παχὺ, περιβόλαιον ἀγροικικὸν, δουλικὸν, παλαιόν· ἢ χιτὼν δερμάτινος. Βορέῃ δὲ λέγουσιν Ἡλίῳ τε τοιαύτην ἔριν γενέσθαι, ὁπότερος ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος τὴν σισύραν ἐκδύσῃ. ⟧ ὁ δὲ νοῦς, μήτε χρηστὸς μήτε ὀχληρὸς πολίτης συμφέρει. πρὸς δὲ τὴν διαφοράν. ἔν τισι καὶ σισύρα καὶ σισύρνα ἐκ τρίτου τὸ αὐτὸ, πλὴν ὅτι ἡ μὲν σισύρα δοκεῖ βαίτη εἶναι ἐκ δερμάτων αἰγείων, ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων. ⟦ εἴπερ ἀναδύσει: Ἐπανέλθῃ ἐκ τῆς δυστυχίας ὥσπερ ἐκ βυθοῦ.

sch ran 1460 εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν βυθιζομένων νηῶν. ⟧ ⟦ ἐκεῖ φράσαιμ’ ἂν: Ἐν τῷ βίῳ.

sch ran 1461 ἐπιθυμῶν δὲ ἀναβιῶναι τοῦτο λέγει. ⟧ ἀλλ’ ἐνθάδ’ ἀνίει τἀγαθά: ⟦ Ἀντὶ τοῦ ἀνάπεμπε.

sch ran 1462* ⟧ παρὰ τὴν παροιμίαν ἐκεῖ βλέπουσα, δεῦρ’ ἀνίει τἀγαθά. τὴν γῆν ὅταν νομίσωσι: Τὴν Περικλέους γνώμην λέγει.

sch ran 1463 (εἰ τὴν μὲν Ἀττικὴν ὡς πολεμίαν ἐάσουσι τέμνεσθαι, ἢ καὶ οὐ τέμνουσι, τὴν δὲ Λακωνικὴν περιπλεύσουσιν. Ἄλλως. ἐπὶ τὴν Περικλέους φέρεται γνώμην, ὃς συνεβούλευσε περιπλεῖν τὴν πολεμίαν, μὴ μάχεσθαι δὲ τεμνομένης τῆς Ἀττικῆς.) ⟦ Ἄλλως. τοιαύτην γνώμην καὶ Περικλῆς συνεβούλευσεν Ἀθηναίοις, Λακεδαιμονίων εἰσβαλλόντων εἰς τὴν Ἀττικὴν, μέγα βοήσας ἀπὸ τοῦ βήματος, ὡς οὐκ ἂν ἄλλως ἔσται τοῖς πράγμασι σωτηρία, εἰ μὴ τὸ κατὰ γῆν μάχεσθαι τούτοις ἀφέντες περιπλευσούμεθα Λακεδαίμονα πλήθει νεῶν. ⟧ πόρον δὲ τὰς ναῦς: Καὶ τοῦτο κατὰ τὴν Περικλέους γνώμην, ὃς ἐκέλευεν Ἀθηναίοις, ἐμβαλόντων Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ’ εἴσω τείχους μένειν, αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ.

sch ran 1465 τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι, τὸν δὲ διὰ θαλάσσης, τοῦτον ἡγεῖσθαι πόρον. (ἢ καὶ οὕτως· ἕνα μὲν πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τῆς γῆς ᾖ, τοῦτον ἀπορίαν νομίζειν· οἷον τὰ θεωρικὰ, ἢ δικαστικὰ, ἢ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. φησὶ γὰρ ὁ Διόνυσος, «πλήν γ’ ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος,» ὡς πολλῶν ὄντων τῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν.) τοῦτο δὲ παρ’ ὑπόνοιαν εἶπε. ⟦ νοεῖται μὲν γὰρ κατὰ τὸ φαινόμενον, ὅτι ἐγὼ μόνος ὁ δικάζων ὑμῖν κατὰ νοῦν ταῦτα λαμβάνω καὶ ἀποδέχομαι· τῇ δὲ ἀληθείᾳ κατηγορίαν Ἀθηναίων ἐμφαίνει, ὡς δικορραφούντων καὶ μισθοὺς πολλοὺς περὶ τὰς δίκας διδόντων. τὸ δὲ κρίνοις ἄν τινὲς τὸν Πλούτωνα λέγειν ἀξιοῦσιν. αἱροῦ δὲ τοὺς φίλους ἀντὶ τοῦ ἐμὲ λάβε. ⟧ οὓς ὤμοσας: Πρὶν κατελθεῖν.

sch ran 1469 C. τοὺς φίλους: Ἐμέ.

sch ran 1470 Br. ἡ γλῶττ’ ὀμώμοκε: Παρὰ τὰ ἐξ Ἱππολύτου [611] ἡ γλῶττ’ ὀμώμοχ’, ἡ δὲ φρὴν ἀνώμοτος.

sch ran 1475 τί δ’ αἰσχρὸν ἣν μὴ: Παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου τί δ’ αἰσχρὸν, ἣν μὴ τοῖσι χρωμένοις δοκῇ; τὸ πνεῖν δὲ δειπνεῖν: Παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου.

sch ran 1478 τὸ δὲ κώδιον προσέθηκεν, ἐπειδὴ καθεύδειν ἔφη. ⟦ Ἄλλως. τοῦτο ἐκ Πολυΐδου δράματος τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν, ὑπνοῦν δὲ τὸ κατθανεῖν. Ἀριστοφάνης δέ φησι τὸ πνεῖν δὲ δειπνεῖν καὶ τὸ καθεύδειν κώδιον. πεποίηκε δὲ τοῦτο, ἐπειδὴ ὁ Διόνυσος οὐδὲν ἕτερον ἠγάπα ἢ δειπνεῖν καὶ καθεύδειν ἐν μαλακοῖς στρώμασιν, οἷά ἐστιν τὰ ἐκ κωδίων. ⟧ τῷ ἑστιᾶσαι· ὡς ἀδηφάγος.

sch ran 1481 τρυφερὸς γάρ. Ven. ⟦ μακάριον: Κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ, διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι, ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις καὶ ἀναπαίστοις διμέτρων ὀκτωκαίδεκα· ὧν τὰ μὲν α′, β′, γ′, η′, ι′, ια′, ιβ′, ιδ′, ιε′ καταληκτικὰ ἤτοι ἑφθημιμερῆ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὐριπίδεια, ἢ ληκύθια· τὰ δ’ ἄλλα ἀκατάληκτα, πλὴν τοῦ θ′ καὶ τελευταίου βραχυκαταλήκτων ἰθυφαλλικῶν.

sch ran 1482 ἐπὶ τῷ τέλει κορωνίς. ⟧ λείπει τὸ πρᾶγμα, ἵν’ ᾖ, μακάριον τὸ πρᾶγμα. ⟦ φίλους δὲ νῦν ὡς καὶ ἡμεῖς. πολλαχοῦ δὲ τοὺς συγγενεῖς καὶ ἀναγκαίους. ⟧ —ξύνεσιν: Ἀντὶ τοῦ φρόνησιν. R. V. (χάριεν οὖν: Ὅτι νῦν τὴν πρὸς Σωκράτην ἑταιρίαν δηλοῖ.

sch ran 1491 Παναίτιος δὲ ὅλα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τῶν περὶ σκηνὰς φλυάρων, ὡς Εὐριπίδης.) ⟦ Ἄλλως. τὸν Σωκράτη ἐνταῦθα κατηγορεῖ. ζῶν γὰρ οὗτος ὡς πολυλόγος κατηγορεῖτο, ὅτι πολλοὺς λόγους ἐν τοῖς ἐργαστηρίοις καὶ τραπέζαις διεξήρχετο περὶ φιλοσοφίας. λέγει οὖν ὅτι καλόν ἐστι, μὴ μετ’ αὐτοῦ τινα διάγειν, ἀφέντα τοὺς ποιητὰς τοιούτους ὄντας ὡς καὶ μετὰ θάνατον ἀναβιοῦν αὖθις δύνασθαι· οὗ νῦν Αἰσχύλος ἔτυχε. ⟧ καὶ σκαριφισμοῖς: (Συνεστυμμένοις καὶ στυγνοῖς.

sch ran 1497 παρόσον οὐκ ἀνειδέοις οἱ φιλόσοφοι διαλέγονται. ἢ) οἷον σκαρισμοῖς καὶ λεπτολογίαις, εὐτελείαις, σκιαγραφίαις. σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι (πρῶτον τοὺς γραφομένους). ⟦ καὶ σκαριφήσασθαι ἐπὶ τοῦ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ φιλόσοφοι λόγοι ὥσπερ σκιαὶ καὶ αἰνίγματα διὰ τὸ ἀερῶδες αὐτῶν καὶ λεπτόν. ⟧ (ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος,) ⟦ ἤγουν τὸ κάρφος, καὶ φρύγανον· μᾶλλον δὲ ἡ γραφίς ⟧ . —σκαρηφισμοῖσι: Σκιαῖς. C. παραφρονοῦντος ἀνδρός: Λείπει τὸ ἐστίν, (ὡς καὶ τὸ Ὁμηρικὸν [Od.

sch ran 1499 Δ, 834] εἰ δ’ ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισι. λείπει γὰρ κἀνταῦθα τὸ ἐστί.) ⟦ ἄγε δὴ χαίρων: Ἔκθεσις τοῦ δράματος, ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κζ′· ὧν τὰ ς′, ια′, ιε′, κδ′, κζ′ ἑφθημιμερῆ· τὰ δὲ λοιπὰ ἀκατάληκτα, πλὴν τῶν η′ καὶ ιγ′ μονομέτρων.

sch ran 1500 ἐφ’ ἑκάστης περιόδου τέλει καὶ συστήματος παράγραφος. ⟧ τὴν ἡμετέραν: ⟦ Πάντως γὰρ οἱ θεοὶ αὐτὴν φιλοῦμεν διὰ τὴν πρὸς ἡμᾶς εὐσέβειαν.

sch ran 1501 ⟧ —τοῦτο ἔφη ὁ Πλούτων, ἐπεὶ προσήκει ἡ Ἀττικὴ Δήμητρι καὶ Κόρη. V. Θ. M. καὶ δὸς τουτὶ Κλεοφῶντι: Ἴσως σχοινίον ἐπιδίδωσιν αὐτῷ ὁ Πλούτων πρὸς ἀγχόνην, ἤ τι τοιοῦτον σύμβολον θανάτου.

sch ran 1504 ὡς ξένος δὲ ὁ Κλεοφῶν κωμῳδεῖται. ⟦ ἢ ὅτι γέρων ὢν ἔμελλε μετ’ ὀλίγον τεθνήξεσθαι. ἢ ὡς ἀγχόνης ἄξια ἔπραττε. ⟧ καὶ τούτοις τοῖσι ποριστaῖς: ⟦ Τοῖς φορολόγοις.

sch ran 1505 ⟧ (τούτους λέγει, τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. εἴη δ’ ἂν σχοινίον, ὃ ἐπιδίδωσιν αὐτοῖς.) (Μύρμηκί θ’ ὁμοῦ; Ὀνόματα κύρια.

sch ran 1506 ἐπὶ πονηρίᾳ δὲ οὗτοι ἐκωμῳδοῦντο. οὐ πάντως δὲ ὁ Μύρμηξ τῶν ποριστῶν ἐστιν, ἀλλὰ δὴ οἴονται ἀπὸ ἄλλης ἀρχῆς· οὐδὲ γὰρ ὁ Νικόμαχος. ἀλλὰ ἤτοι ὁ τραγικὸς ὑποκριτὴς, ἢ ὁ πολίτης, περὶ ὧν προείρηται. τί δ’ ἂν εἴη διδούς; τάχα βρόχους πρὸς ἀγχόνην, ἤ τι τοιοῦτον.) [ξυμποδίσας δὲ, συνδήσας τοὺς πόδας.] τοῦ Λευκολόφου: (Εἴη ἂν οὗτος ὁ τοῦ Λευκολοφίδου, οὗ καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ [p.

sch ran 1513 315, E]. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων· ἡγεῖτο δὲ τοῦ μέρους τοῦ ναυτικοῦ. τάχα δ’ ἂν οὗτος εἴη, ὃν καὶ παρεγγεγραμμένον λέγουσιν. οἰκεῖον γὰρ αὐτοῦ τὸ, στίξας αὐτούς· ἦν γὰρ ξένος. Ἄλλως.) στρατηγὸς ἦν τοῦ ναυτικοῦ. καὶ Εὔπολις μέμνηται ἐν Πόλεσιν οὕτως περὶ τοῦ Ἀδειμάντου οὐκ ἀργαλέον δῆτ’ ἐστὶ πάσχειν τοῦτ’ ἐμὲ τὸν Λευκολοφίδου παῖδα τοῦ Πορθάονος; τῷ Σοφοκλεῖ δηλονότι ὁ Εὐριπίδης.

sch ran 1516 R. ⟦ ἣν δ’ ἄρ’ ἐγώ ποτε: Ἀπαγορεύει ὡς οὐκ ἔτι πάλιν εἰς Ἅιδου ἀφίξεται.

sch ran 1517 ⟧ ⟦ μηδ’ ἄκων: Οἷον, μηδὲ εἴ τινες ἄκοντα τοῦτον λαβόντες καθίσαι ἐθελήσουσι.

sch ran 1523 ⟧ ⟦ φαίνετε: Πρὸς τὸν χορόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch ran 1524 ἀντὶ τοῦ, ἀνάπτετε ὦ μύσται. ⟧ πρῶτα μὲν εὐοδίαν: ⟦ Ἡ τελευταία ἔκθεσις τοῦ δράματος ἐκ στίχων ἐστὶ δακτυλικῶν ϛʹ.

sch ran 1528 ἐπὶ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποπερατοῦσα. εὐοδίαν δὲ, εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ ⟧ (παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου «εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν.») — ἀντὶ τῷ Αἰσχύλῳ. R. ⟦ παυσαίμεθ’ ἂν: Τὸ παυσαίμεθα εἶπεν ὁ χορὸς, διότι τῷ μὲν δοκεῖν ἐν Ἅιδου ἦν, τὸ δ’ ἀληθὲς Ἀθήνησιν, ἔνθα ἐτελεῖτο τὸ δρᾶμα.

sch ran 1531 ξυνόδων δὲ, συμπλοκῶν, ἃς ἡ πόλις νυνὶ πάσχει. ⟧ —τῶν πολεμικῶν ἀργαλέων. R. Κλεοφῶν δὲ μαχέσθω: (Παρόσον, ὡς Ἀριστοτέλης φησὶ, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ’ οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκὼς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.

sch ran 1532 οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται· οὗ καὶ ἄνω [678] ἐμνήσθη, εἰπὼν «φιλοτιμότεραι Κλεοφῶντος, ἐφ’ οὗ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμει Θρῃκία χελιδών.») μαχέσθωσαν οὖν, φησὶ, Κλεοφῶν καὶ οἱ ἄλλοι, ὅσοι τούτῳ ὅμοιοί εἰσι ξένοι, ἐν ταῖς πατρίσιν αὑτῶν, καὶ μὴ ἐν τῇ Ἀττικῇ κινείτωσαν πολέμους· οὐ γάρ ἐστιν αὐτῶν πατρὶς αὕτη. (πατρίοις ἐν ἀρούραις: Ἐν ταῖς ἑαυτῶν ἀρούραις.

sch ran 1533 κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους.)

Eulogikon public reading copy · View original HTML at eulogikon.org